L. Graec. 432n

Werner

BIBLIOTHECA
REGIA
MONACENSIS.

Griechisches Lesebuch

für

Anfänger

in einer grammatischen Ordnung

nebst

einem Anhange von vermischten Sätzen

und

einem vollständigen Wortregister

von

G. A. Werner,

Präceptor an dem königl. Gymnasium zu Stuttgart.

Bayerische Staatsbibliothek München

Stuttgart bey dem Verfasser,

und

Tübingen in Commission der J. G. Cotta'schen Buchhandl.

1808.

Wd 327. B

Bayerische
Staatsbibliothek
München

Vorrede.

Bey der Ausarbeitung dieses Lesebuches befolgte ich eben denselben grammatischen Plan, den die vor vier Jahren von mir herausgegebene „Anleitung zum Uebersetzen aus der deutschen in die griechische Sprache" hat, und schöpfte die Materialien aus den nehmlichen Quellen.

Das Buch ist für Anfänger bestimmt, welche die Formen der Deklination und Conjugation sich aus der Grammatik bekannt gemacht haben.

In den ersten Blättern schickte ich einige ganz leichte Sätze voraus, ohne auf eine gewiße Regel zu sehen; hierauf folgen Beyspiele über den Gebrauch des Artikels, der Casus und der übrigen Rede-Theile.

Um dem Knaben Anlaß zu geben, sich die Regel aus den Sätzen selbst zu abstrahiren, und ihm dieses Geschäft zu erleichtern, sind jedes Mal die Worte, in welchen die Regel liegt, mit gesperrter Schrift gedruckt; durch die Inhalts-Anzeige aber wird er in den Stand ge-

setzt, die Regel selbst in der ebengenannten Anleitung, auf welche die erste Zahl hinweiset, nachzuschlagen.

In dem Anhange von vermischten und allmählich größeren Sätzen ist nicht mehr auf einzelne Regeln Rücksicht genommen; man wird aber leicht finden, daß sie nicht ohne sorgfältige Auswahl, sowohl im Bezug auf die Sprache als auf den Inhalt gesammelt worden sind.

In dem Register ist alles erklärt, was ich erklären zu müßen glaubte, und es ist meines Wissens kein Wort übergangen, wenn es nicht etwa einige nomina propria sind, welche der Zusammenhang leicht von selbst erklärt.

Vielleicht habe ich durch diese beyden Schriften den Anfängern in der griechischen Sprache ein Hülfs-Mittel in die Hände gegeben, durch welches sie — freylich immer unter der Anleitung eines getreuen Lehrers — ohne allzugroße Schwierigkeiten bald zur Lesung eines Classikers gefördert werden können.

Billige Beurtheiler und ihre freundschaftliche Verbesserungen werden mir willkommen seyn.

Stuttgart im Februar 1808.

Der Verfasser.

Inhalts-Anzeige.

(Die erste Zahl bezieht sich auf die Anleitung zum Uebersetzen aus der deutschen in die griechische Sprache, wo die Regel nachgeschlagen werden kann.)

Leichte Sätze für Anfänger. 1

I. Abschnitt. Von dem Artikel;
1) wo er steht oder wegbleibt, 63 . . 9
2) bey den Namen der Länder und Welttheile, 64 9
3) bey den Wörtern, welche κατ' ἐξοχὴν stehen, 65 10
4) er wird doppelt gesetzt, 65 . . . 10
5) oft werden zwey oder drey Artikel hinter einander gesetzt, 66 10
6) er steht vor ganzen Sätzen, 67 . . 11
7) es werden gewiße Wörter bey demselben ausgelassen, 68 11
8) er wird bey Eintheilungen wiederholt, ὁ μὲν, ὁ δὲ, 72 12
9) das Neutrum des Artikels mit dem Genitiv, 74 13

II. Abschnitt. Bemerkungen über das Substantiv und Adjektiv, 75 13
Von den Pronominibus, 80 . . . 15
Von dem Pronomine relativo, 85 . . 17
Von Fragen und Antworten, 90 . . 19

III. Abschnitt. Gebrauch des Nominativs, 91 . 20
Mit dem neutro plurali verbindet man das Verbum im Singulari, 93 . . . 21
Nomina collectiva, 95 21

IV. Abschnitt. Gebrauch des Genitivs.
Affekts-Substantiva, 96 22
ἔργον, ἴδιον, χρῆμα, κτῆμα, werden ausgelassen, 96 und 98 22
Substantiva, die eine Zeit bedeuten, 100 . 23
Die Materie, aus welcher etwas verfertigt wird, 101 23

Verschiedene Adjectiva regieren den Genitiv, 102 24
Adjectiva, welche eine Vergleichung anzeigen, 114 27
Genitiv bey dem neutro eines Adjectivi, Pron. oder Partic. 118 29
Verba beschuldigen -- lossprechen, 121 . 30
—— die eine Vergleichung bedeuten, 124 . 30
—— die eine Begierde, Sorge ꝛc. bedeuten, 125 31
—— die ein Geschäft der Sinne ꝛc. anzeigen, 128 32
—— welche füllen ꝛc. Mangel oder Ueberfluß haben, berauben, bedeuten, 131 33
δεῖ, man hat nöthig, 133 . . 34
—— beherrschen, anführen, 134 . . 34
—— anfangen, aufhören, verschieden seyn, verfehlen ꝛc. 135 . . . 35
—— erfahren, lernen, bitten, bekommen, 138 36
—— berühren, nehmen ꝛc. 139 . . 36
—— kaufen, verkaufen, schätzen, bezahlen, ꝛc. 141 36
—— die einen Affekt ausdrücken, 143 . 37
—— nehmen, bekommen, Antheil haben oder nehmen lassen, 146 . . . 38
τυγχάνω, μέτεςι, προσήκει, 148 . . 39
—— composita, 149 39
Genitiv bey Adverbiis, 154 . . . 40
—— bey Ausrufungen, 161 . . . 41

V. Abschnitt. Gebrauch des Dativs.

Verschiedene Verba regieren ihn, 161 . 42
κελεύω, εὔχομαι, 169 44
Adjectiva, nützlich, schädlich, tauglich, gut oder übel gesinnt, 170 . . . 44
—— welche eine Aehnlichkeit ꝛc. zugleich oder Beysammenseyn bedeuten, 171 . . 45
Verba und Adjectiva composita, 174 . 46
Dativ statt des Genitivs bey dem Passivo, 179 47
Dativus commodi & incommodi, 179 . 47
Dativ auf die Fragen womit, wodurch ꝛc. 180 47

VI. Abschnitt. Gebrauch des Akkusativs.

Verba welche nützen oder schaden bedeuten, 184 48
—— gut oder übel von jemand sprechen, 187 49
—— Mitleiden haben, sich erbarmen, 188 49
Doppelter Akkusativ bey Verbis fragen, lehren, an und auskleiden ꝛc. 188 . . . 49

Verba neutra haben den Gegenstand im Akkusativ, 192 51
—— —— haben ein verwandtes Substantiv bey sich, 192 51
—— impersonalia, 195 . . . 52
—— passiva haben den Gegenstand im Akkusativ bey sich, 197 53
Akkusativ bey Adjectivis und Partic. mit Auslassung des κατὰ, 199 53
— auf die Fragen wie lang, wie groß ꝛc. 202 54
Anhang zu den Casibus.
A) Verba nominalia, 204 . . . 55
B) Verbal-Adjektiv, 204 . . . 55

VII. Abschnitt. Gebrauch des Infinitivs.
1) als Subjekt im Nominativ, 208 . . 56
2) im Genitiv
a) als nähere Bestimmung eines andern Substantivs, 209 . . . 56
b) bey Präpositionen, 211 . . . 57
c) nach dem Comparativ, 214 . 57
d) nach Verbis und Adjectivis, welche den Genitiv regieren, 215 . . . 58
3) im Dativ, 216 58
4) im Akkusativ
a) nach Verbis activis als Gegenstand, 221 59
b) nach Präpositionen, 224 . . 59
c) nach Adjectivis, 225 59
nach οἷος, 228 60
Casus des Subjekts bey dem Infinitiv, 229 . 60
Infinitivus nach ὥςε, 235 . . . 62
——— — ὡς, ὅσον, ὅσα, 237 . . 62
ὡς δοκεῖν, ὡς εἰπεῖν &c. 239 . . . 62

VIII. Abschnitt. Von den Participiis.
bey εἰμὶ, φθάνω, λανθάνω &c. 242 . . 63
nach Verbis, die ein Geschäft der Sinne anzeigen, 244 64
bey den Redensarten scheinen, sich zeigen ꝛc. 254 65
bey den Verbis anfangen, aufhören, fortsetzen ꝛc. 258 66
nach Fragewörtern, 261 66
Genitivus absolutus, 263 . . . 66
ἐξὸν, ἐνὸν, δοκοῦν &c. 266 67

IX. Abschnitt. Von dem Adverbio.
Zwey Negationen bey Einem Verbo, 267 . 67
Adverbium bey ἔχω &c. πάσχω, πράττω, 269 68
Adjectiva statt der Adverbiorum, 276 . 69

X. Abschnitt. Von den Präpositionen.
A) solche, welche nur Einen Casum regieren:
1) den Genitiv allein, 277 . . . 70
2) den Dativ allein, 284 . . . 71
3) den Akkusativ allein, 288 . . . 71
B) welche zwey Casus, den Genitiv und Akkusativ regieren, 292 71
C) welche drey Casus, den Genitiv, Dativ und Akkusativ regieren, 303 . . . 73

XI. Abschnitt von den Conjunktionen.
ἂν, 323 76
ἐὰν, (ἢν,) 329 77
εἰ, 333 78
ἕως, ἡνίκα, 337 78
ἵνα, 338 78
νὴ und μὰ, 339 79
καὶ — καὶ, τε — καὶ, 341 79
μὴ, 342 79
ὅπως, 345 80
ὅτε, ὅτι, 347 80
πρὶν, 349 81
ὡς, 350 81

Vermischte Sätze und allmählich größere Stücke zu weiterer Uebung in den Gräcismen. . . 83

Leichte Sätze für Anfänger.

Ἡ παιδεία ὁμοία ἐςὶ χρυσῷ ςεφάνῳ· καὶ γὰρ τιμὴν ἔχει, καὶ τὸ λυσιτελές.

Ἡ αὐτάρκεια καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς, χάριν μὲν ἔχει μεγάλην,[1] κόπον δὲ μικρόν.

Λιμὴν μὲν πλοίῳ ὅρμος, βίῳ δὲ Φιλία.

Πολλοὶ τραπέζης, ἐκ ἀληθείας Φίλοι.

Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.

Γέρων γέροντι γλῶσσαν ἡδίςην[2] ἔχει· παῖς παιδὶ, καὶ γυναικὶ πρόσφορον γυνή.

Πάντων ἥδιςόν ἐςιν ἡ Φιλία, καὶ ἐδὲν ἄλλο μᾶλλον εὐφραίνει· καθὸ δὴ καὶ λέγεται πυρὸς καὶ ὕδατος ὁ Φίλος ἀναγκαιότερος εἶναι.

Μεγάλαι αἰτίαι μεγάλην διαλύεσιν εὔνοιαν καὶ Φιλίαν.

Ἠθοποιᾶσιν αἱ Φιλίαι, καὶ μεῖζον ἐθέν ἐςι διαφορᾶς ἠθῶν σημεῖον, ἢ Φίλων αἱρέσεις διαφερόντων.

Ὁ μὲν ἀληθὴς Φίλος ἔτε μιμητής ἐςι πάντων, ἔτε ἐπαινέτης πρόθυμος, ἀλλὰ τῶν ἀρίςων μόνων.

Ὁρᾷς τὸν πίθηκον; ἐ δύναται τὴν οἰκίαν Φυλάττειν, ὡς ὁ κύων, ἐδὲ βαςάζειν, ὡς ὁ ἵππος, ἐδ᾽ ἀρἐν τὴν γῆν, ὡς οἱ βόες·[3] ὕβριν ἔν Φέρει καὶ βωμολοχίαν, καὶ παιδιὰς ἀνέχεται, γέλωτος ὄργανον ἐμπαρέχων ἑαυτόν· ἔτω δὴ καὶ ὁ κόλαξ.

Σκιαί εἰσιν ὄντως αἱ πολλαὶ Φιλίαι καὶ μιμήματα καὶ εἴδωλα τῆς πρώτης ἐκείνης, ἣν παισί τε πρὸς γονεῖς ἡ Φύσις, ἀδελφοῖς τε πρὸς ἀδελφὲς ἐμπεποίηκε.

Καὶ μὴν πρὸς Φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν Φῦναι,[4] μέγα δὲ τὸ ὁμἐ τραφῆναι.[5]

---

1 μέγας. 2 ἡδὺς. 3 βἔς. 4 Φῦμι. 5 τρέφω.

Τὸ παράδειγμα τῆς χρήσεως τῶν ἀδελφῶν, ἡ Φύσις ἐ μακρὰν ἔθηκεν, [1] ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὰ πλεῖςα τῶν ἀναγκαίων διττὰ καὶ ἀδελφὰ καὶ δίδυμα μηχανησαμένη, χεῖρας, πόδας, ὄμματα, ὦτα, ῥῖνας.

Οὐκ ἔςιν ὅ τι μᾶλλον ἄνθρωποι κεχαρισμένον [2] θεοῖς δρῶσιν, ἢ τοκεῦσιν αὐτῶν καὶ τροφεῦσι παλαιὰς ἐπὶ νέαις δανεισθείσας χάριτας εὐμενῶς καὶ προθύμως ἐκτίνοντες.

Βεβαιόταται μὲν γὰρ δήπε δοκεσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας, καὶ παισὶ πρὸς γονέας, καὶ ἀδελφοῖς πρὸς ἀδελφὲς, καὶ γυναιξὶ πρὸς ἄνδρας, καὶ ἑταίροις πρὸς ἑταίρες.

Χαλεποὶ πόλεμοι ἀδελφῶν, ὡς Εὐριπίδης εἴρηκεν, [3] ὄντες, χαλεπώτατοι τοῖς γονεῦσιν αὐτοῖς εἰσιν. ὁ γὰρ μισῶν τὸν ἀδελφὸν αὐτε καὶ βαρυνόμενος ἐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκεσαν. [4]

Πῶς ὑγιείας ἐπιμελῆ; πῶς τῆς τε σώματος ῥώμης; ἀεὶ μὲν ὑγιεινότερα σώματι τὰ εὐτελέςερα.

Τινὲς τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνεσι, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτεσι· σίτε γε μὴν αὐτοῖς γαςέρα μέτρον νομίζεσι.

Οὐ μὴν ὕπνῳ γε δεσπότῃ, ἀλλ' ἀρχομένῳ ὑπὸ τῶν πράξεων ἐχρῆτο [5] ὁ Ἀγησίλαος.

Μυρίας, φησὶν, ἡμῖν, ὁ Πλάτων, ἀσχολίας παρέχει, τὸ σῶμα διὰ τὴν ἀναγκαίαν τροφήν.

Ἴσως μέν τι καὶ Θεόφραςος ἀληθὲς εἶπεν, εἰπὼν ἐν μεταφορᾷ, πολὺ τῷ σώματι τελεῖν ἐνοίκιον τὴν ψυχήν.

Διὰ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι ἐγγίνονται. Τὰ δὲ χρήματα ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὸ σῶμα, δελεύοντες τῇ τέτε θεραπείᾳ.

Πάντες χρηματίζονται, ὅσον δύνανται· ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δὲ ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται.

---

1 τίθημι. 2 χαρίζομαι. 3 ῥέω. 4 τίκτω. 5 χράομαι.

Καρπῶν μὲν εὐφορίαν εὐκρασία ποιεῖ καὶ λεπτότης τῦ περιέχοντος ἀέρος,[1] τεχνῶν δὲ καὶ φύσεων ἀγαθῶν αὔξησις εὐμένεια καὶ τιμὴ καὶ φιλανθρωπία βασιλέως ἐκκαλεῖται.

Οἱ πλȣ́σιοι καὶ οἱ βασιλεῖς τιμῶντες τȣ̀ς φιλοσόφȣς, αὐτȣ́ς τε κοσμȣ̃σι κἀκείνȣς· οἱ δὲ φιλόσοφοι τȣ̀ς πλȣσίȣς θεραπεύοντες, ȣ̓κ ἐκείνȣς ποιȣ̃σιν ἐνδόξȣς, ἀλλ᾽ ἑαυτȣ̀ς ἀδοξοτέρȣς.

Ἡ γραφικὴ ἐςιν εἰκασία τῶν ὁρωμένων.[2]

Ἐν τῇ ζωγραφίᾳ ἐπαινȣ̃μεν τὸ ἐναρμόττον. Γεγραμμένην[3] σαῦραν, ἢ πίθηκον ἰδόντες ἠδόμεθα καὶ θαυμάζομεν, ȣ̓χ ὡς καλὸν, ἀλλ᾽ ὡς ὅμοιον. ȣ̓σίᾳ μὲν γὰρ ȣ̓ δύναται καλὸν γενέσθαι,[4] τὸ αἰσχρόν.

Οὐχ ἥκιςα ὑπὸ τῆς πόλεως τῶν Ἀθηναίων ζωγραφία προῆκται[5] καὶ κεκόσμηται. Καὶ γὰρ Ἀπολλόδωρος ὁ ζωγράφος, ἀνθρώπων πρῶτος ἐξευρὼν[6] φθορὰν καὶ ἀπόχρωσιν σκιᾶς, Ἀθηναῖος ἦν, ȣ̃ τοῖς ἔργοις ἐπιγέγραπται· Μωμήσεταί τις μᾶλλον, ἢ μιμήσεται.

Γῆν πάντες οἴδασιν[7], ὅτι εὖ πάσχȣσα εὖ ποιεῖ.

Ἡ γεωργία παρέχȣσα ἀφθονώτατα ἀγαθὰ, ȣ̓κ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν· ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρȣς ἐθίζει καρτερεῖν.

Πρῶτον μὲν ἀφ᾽ ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις· καὶ ἀφ᾽ ὧν τοίνυν ἡδυπαθȣ̃σι, προσεπιφέρει. ἔπειτα δὲ, ὅσα κοσμȣ̃σι βωμȣ̀ς καὶ ἀγάλματα, καὶ οἷς αὐτοὶ κοσμȣ̃νται, καὶ ταῦτα μετὰ ἡδίςων ὀσμῶν καὶ θεαμάτων παρέχει.

Ὁ μὴ εἰδὼς ὅ τι δύναται ἡ γῆ φέρειν, ȣ̓δ᾽ ὅ τι σπείρειν, οἴομαι, ȣ̓δ᾽ ὅ τι φυτεύειν δεῖ, εἰδείη ἄν.

Καλῶς ἐκεῖνος εἶπεν, ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι· εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔῤῥωνται[8] καὶ αἱ ἄλλαι τέχναι ἅπασαι.

---

1 ἀήρ. 2 ὁράω. 3 γράφω. 4 γίνομαι. 5 προάγω.
6 a. 2. Part. v. ἐξευρίσκω. 7 εἴδω. 8 ῥώννυμι.

Ὅπȣ ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι, σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

Κάλλιςόν τε καὶ ἄριςον καὶ ἥδιςον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι, πάνυ μοι δοκῶ πεπεῖσθαι [1] ἱκανῶς.

Τῆς θαλάσσης τὸ ὕδωρ ἄποτόν ἐςι καὶ πονηρὸν, ἀλλ' ἰχθῦς τρέφει, καὶ πόμπιμόν ἐςι πάντῃ καὶ πορεύσιμον ὄχημα τοῖς κομιζομένοις.

Τὸ πῦρ καίει τὸν ἁψάμενον· ἀλλὰ φῶς παρέχει καὶ θερμότητα καὶ τέχνης ἁπάσης ὄργανόν ἐςι τοῖς χρῆσθαι [2] μαθȣ̃σι. [3]

Ἡ Φύσις, ὡς τῶν θηρίων ἑτέροις ἀφ' ἑτέρων παρεσκεύασε τὴν τροφὴν εἶναι, καὶ ȣ̓ πάντα σαρκοφαγεῖν, ἢ σπερμολογεῖν, ἢ ῥιζωρυχεῖν ἐποίησεν, ȣ̈τω τοῖς ἀνθρώποις ποικίλας πρὸς τὸν βίον ἀφορμὰς ἔδωκε.

Ἐν ταῖς νομαῖς, ἡ μὲν μέλιττα διώκει τὸ ἄνθος, ἡ δ' αἶξ τὸν θαλλὸν, ἡ δὲ ὗς τὴν ῥίζαν, ἄλλα δὲ ζῶα τὸ σπέρμα καὶ τὸν καρπόν.

Ἡ μὲν μέλιττα φυσικῶς ἐν τοῖς δριμυτάτοις ἄνθεσι καὶ ταῖς τραχυτάταις ἀκάνθαις ἐξανευρίσκει τὸ λειότατον μέλι καὶ χρηςικώτατον.

Οὐ καὶ τȣ̃το φανερὸν, ὅτι καὶ τὰ θηρία ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε καὶ ὑῶν [4] καὶ ἵππων καὶ βοῶν [5] καὶ ὄνων καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωπος;

Ὁ μακρότατος βίος ὀλίγος ἐςὶ καὶ ςιγμαῖος πρὸς τὸν ἄπειρον αἰῶνα.

Οὐχ ὁ μακρότατος βίος ἄριςος, ἀλλ' ὁ σπȣδαιότατος· ȣ̈τε γὰρ ὁ πλεῖςα κιθαρῳδήσας, ἢ ῥητορεύσας, ἢ κυβερνήσας, ἀλλ' ὁ καλῶς, ἐπαινεῖται. Τὸ γὰρ καλὸν ȣ̓κ ἐν μήκει χρόνȣ θετέον [6], ἀλλ' ἐν ἀρετῇ καὶ τῇ καιρίῳ συμμετρίᾳ.

---

1 πείθω. 2 χράομαι. 3 μανθάνω. 4 ὗς. 5 βȣ̃ς. 6 τίθημι.

Οὐ νομοθετήσοντες πάρεσμεν [1] εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν τὰ ὅλα πρυτανευόντων θεῶν, καὶ τοῖς τῆς εἱμαρμένης καὶ προνοίας θεσμοῖς.

Οὐ γάρ ἐςιν Φρένας ἔχοντος ἀνθρώπȣ ἀγνοεῖν, ὅτι ὁ ἄνθρωπος ζῶόν ἐςι θνητὸν, ȣ̓δ' ὅτι γέγονεν [2] εἰς τὸ ἀποθανεῖν. [3]

Πενίᾳ δυσΦορεῖς παρȣ́σῃ [4]; καὶ τίς ἂν ἐβȣ́λȣ εἶναι μᾶλλον Βοιωτῶν, ἢ Ἐπαμινώνδας; τίς δὲ Ῥωμαίων, ἢ Φαβρίκιος;

Νῦν δὲ τὴν ἄμπελον σῦκα Φέρειν ȣ̓κ ἀξιȣ̃μεν, ȣ̓δὲ τὴν ἐλαίαν βότρυς· αὐτοὶ δὲ ἑαυτȣ̀ς, ἐὰν μὴ τὰ τῶν πλȣσίων ἅμα καὶ τὰ τῶν λογίων ἔχωμεν προτερήματα, συκοΦαντȣ̃μεν καὶ ἀχαριςȣ̃μεν ἑαυτοῖς, καὶ καταΦρονȣ̃μεν ὡς ἐνδεῶς καὶ εὐτελῶς βιȣ́ντων.

Ἡ χεὶρ τὴν χεῖρα νίζει· δός [5] τι, καὶ λάβε [6] τι. Καιρὸν πρόσμενε. Ἃ μὴ προσήκει μήτ' ἄκȣε, μήθ' ὅρα.

Ὅπερ ȣ̃ν αἱ τίτθαι πρὸς τὰ παιδία λέγȣσι· Μὴ κλαῖε, καὶ λήψῃ· [7] τȣ̃το πρὸς τὸν θυμὸν ȣ̓κ ἀχρήςως λεκτέον. [8] Μὴ σπεῦδε, μηδὲ βόα, μηδὲ ἐπείγȣ, καὶ μᾶλλον ἃ θέλεις γενήσεται [9], καὶ βέλτιον.

Εὔχεται μὲν ὁ νȣ̃ν ἔχων τὰ βέλτιςα, προσδοκᾷ δὲ καὶ θἀτέρα· χρῆται δὲ ἀμΦοτέροις, τὸ ἄγαν ἀΦαιρῶν.

Σὺ πολλάκις ἀκήκοας [10], ὅτι ταυτόν ἐςι τὸ ἕπεσθαι θεῷ καὶ τὸ πείθεσθαι λόγῳ.

Βȣλευσόμεθα περὶ τῶν τέκνων, ὅπως ὅτι βέλτιςα παιδεύσομεν αὐτά.

Καλὴν ἀρχὴν πρὸς τὸ σωθῆναι [11], τὸ αἰδεῖσθαι, παρὰ τῆς Φύσεως ἔχοντες οἱ νέοι, ἀπολλύȣσι διὰ τρυΦὴν καὶ μαλακίαν, ȣ̓κ ἐγκαρτερȣ̃ντες τοῖς ἐλέγχοις, ȣ̓δὲ τὰς ἐπανορθώσεις δεχόμενοι γεννικῶς.

---

1 πάρειμι. 2 γίνομαι. 3 ἀποθνήσκω. 4 πάρειμι. 5 δίδωμι. 6 λαμβάνω. 7 λαμβάνω. 8 λέγω. 9 γίνομαι. 10 ἀκȣ́ω. 11 σώζω.

Μηδὲν τῶν αἰσχρῶν κομψὸν ἡγεῖσθαι καὶ πανῦργον ὁ νέος ἐθιζέσθω, μηδὲ προσμειδιάτω ταῖς τοιαύταις εὑρεσιλογίαις, ἀλλὰ βδελυττέσθω τὰς λόγας μᾶλλον, ἢ τὰ ἔργα, τῆς ἀκολασίας.

Ὅπως μὴ παραφέρηται τῷ τέρποντι ὁ νέος πρὸς τὸ βλάπτον, ὀρθῷ τινι λογισμῷ ἀπευθύνωμεν καὶ παραφυλάττωμεν.

Ὁ λόγῳ καλῶς λεγομένῳ δυσχεραίνων, ὑπὸ τῶν ἰδίων ἀγαθῶν ἀνιᾶται· ὡς γὰρ τὸ φῶς τῶν βλεπόντων, καὶ ὁ λόγος τῶν ἀκόντων ἀγαθόν ἐστιν, ἂν βόλωνται δέχεσθαι.

Οὐ κακῶς ἔνιοι λέγουσιν, ὅτι δεῖ τῶν νέων μᾶλλον ἐκπνευματοῦν τὸ οἴημα καὶ τὸν τύφον, ἢ τῶν ἀσκῶν τὸν ἀέρα, τὰς ἐγχέαι τι βουλομένους χρήσιμον.

Τὰς μὲν ἵππους οἱ καλῶς τρέφοντες, εὐστόμους τῷ χαλινῷ, τὰς δὲ παῖδας εὐηκόους τῷ λόγῳ παρέχουσι, πολλὰ μὲν ἀκούειν, μὴ πολλὰ δὲ λέγειν διδασκομένους.

Δεῖ γράμματα ἐπίστασθαι τὸν μέλλοντα δυνήσεσθαι [1] τὰ ὑπαγορευόμενα γράφειν, καὶ τὰ γεγραμμένα [2] ἀναγινώσκειν.

Ἐνίους τὸ μὴ πράσσειν αὐτὸ πολλάκις εἰς ἀθυμίαν καθίστησιν.

Συνήθεια ἥξει ἡ διὰ μακροῦ πολὺ φῶς ἐπιφέρουσα τῇ μαθήσει, καὶ δεινοὺς ἔρωτας ἐνδιδοῦσα πρὸς τὴν ἀρετήν.

Δεῖ σε χαίρειν καὶ λυπεῖσθαι, θνητὸς γὰρ ἔφυς, κἂν μὴ σὺ θέλῃς, τῶν θεῶν οὕτω βουλομένων, ἔσται.

Πολλοὶ τὸ τοῦ Μενάνδρου πεφρίκασιν· [3] Οὐκ ἔστιν εἰπεῖν ζῶντα, τοῦτ' οὐ πείσομαι [4], ἀγνοοῦντες ὅσον ἐστὶ πρὸς ἀλυπίαν ἀγαθὸν, τὸ μελετᾷν καὶ δύνασθαι πρὸς τὴν τύχην ἀνεῳγόσι [5] τοῖς ὄμμασιν ἀντιβλέπειν.

Τί δαὶ παυσόμεθά ποτε λυπούμενοι; ἢ ἀκαταπαύστῳ συμφορᾷ συνεσόμεθα [6] μέχρι παντὸς τοῦ βίου;

---

1 δύναμαι. 2 γράφω. 3 φρίσσω. 4 πάσχω. 5 ἀνοίγω. 6 σύνειμι.

Τινὲς τῶν βαρβάρων καὶ μέρη τȣ σώματος ἀποτέμνȣσι, ῥῖνας καὶ ὦτα καὶ τὸ ἄλλο σῶμα καταικίζοντες, δοκȣ̃ντές τι χαρίζεσθαι τοῖς τετελευτηκόσιν. [1]

Ὃ μέλλεις τῷ χρόνῳ χαρίζεσθαι, τȣ̃το τῷ λόγῳ χάρισαι, καὶ τῇ παιδείᾳ, καὶ σεαυτὸν ἔκλυσαι τῶν κακῶν.

Μηδεὶς φοβείσθω θάνατον, ἀπόλυσιν πόνων, ἀλλὰ καὶ κακῶν τῶν μεγίστων.

Ὁ θεῖος Πλάτων πολλὰ ἐν τῷ [2] περὶ ψυχῆς περὶ τῆς ἀθανασίας αὐτῆς εἴρηκεν, ȣ̓κ ὀλίγα δ' ἐν τῇ Πολιτείᾳ, καὶ τῷ Μένωνι, καὶ τῷ Γοργίᾳ, καὶ σποράδην ἐν τοῖς ἄλλοις διαλόγοις.

Ἃ μὲν ἀγαθά ἐςι ποιῶμεν, ἃ δὲ βλαβερὰ μὴ ποιῶμεν. Βέλτιον δὲ τὰς ἁμαρτίας φυλάττεσθαι, τοῖς συμβȣλεύȣσι πειθόμενον, ἢ μετανοεῖν ἁμαρτόντα διὰ τȣ̀ς κακῶς λέγοντας.

Τὸ πῦρ ὁ μὴ παρασχὼν [3] ὕλην, ἔσβεσε [4], καὶ ὀργὴν, ὁ μὴ θρέψας ἐν ἀρχῇ καὶ μὴ φυσήσας ἑαυτὸν, ἐφυλάξατο καὶ καθεῖλεν. [5]

Πολλάκις ὑπ' ὀργῆς, ἢ ἔχθρας, προσπεσȣ̃σα [6] λοιδορία, κακὸν ψυχῆς ἢ ἀγνοȣ́μενον, ἢ ἀμελȣ́μενον, ἐθεράπευσεν.

Τὸ μὴ δι' αὐτὸν κακῶς πράττειν ὁ μὲν Κράντωρ φησὶν [7] ȣ̓ μικρὸν εἶναι κȣ́φισμα πρὸς τὰς τύχας, ἐγὼ δ' ἂν εἴποιμι φάρμακον ἀλυπίας εἶναι μέγιςον.

Κράτης πήραν ἔχων καὶ τρίβωνα, παίζων καὶ γελῶν ὥσπερ ἐν ἑορτῇ τὸν βίον διετέλεσε.

Τȣ̃το προκοπῆς ἀληθȣ̃ς ἴδιόν ἐςι πάθος, ὧν ζηλȣ̃μεν τὰ ἔργα, τὴν διάθεσιν φιλεῖν καὶ ἀγαπᾷν.

Ἐθίζομαι ἐν τῷ τέρποντι τὸ χρήσιμον ζητεῖν καὶ ἀγαπᾷν· εἰ δὲ μὴ, διαμάχεσθαι καὶ δυσχεραίνειν.

Τȣ̀ς οἴνȣ ἀκρατεῖς ȣ̓κ ἂν δύναιο ἐπιμελεῖς ποιῆσαι· τὸ γὰρ μεθύειν λήθην ἐμποιεῖ πάντων τῶν πράττειν δεομένων.

Μόνοι, ἃ δεῖ βȣ́λεσθαι, μαθόντες, ὡς βȣ́λονται, ζῶσιν.

---

1 τελευτάω. 2 sc. διαλόγῳ. 3 παρέχω. 4 σβέννυμι. 5 καθαιρέω. 6 προσπίπτω. 7 φημί.

"Οταν πάνυ θαυμάσῃς ὡς κρείττονα τὸν ἐν τῷ φορείῳ κομιζόμενον, ὑποκύψας θέασαι καὶ τὰς βαςάζοντας.

Ἡ τȣ̃ πλέτȣ κτῆσις ἀνόητός ἐςι τοῖς χρῆσθαι μὴ δυναμένοις· διὸ καὶ τὸν φαῦλον καὶ ἀνόητον οἶμαι δεῖν φυλάττεσθαι καὶ δεδιέναι [1] τὰς εὐτυχίας, ὡς βλαβησόμενον [2] καὶ διαφθαρησόμενον [3] ὑπ' αὐτῶν.

'Αλέξανδρος ἄγγελον ἰδὼν [4] περιχαρῆ προσθέοντα, καὶ τὴν δεξιὰν προτείνοντα· Τί μοι μέλλεις, εἶπεν, ἀπαγγελεῖν; ἢ ὅτι "Ομηρος ἀναβεβίωκεν;

'Αλέξανδρος Διογένει αὐτῷ περὶ Κόρινθον εἰς λόγȣς ἐλθὼν, [5] ὅτως ἔφριξε καὶ κατεπλάγη [6] τὸν βίον καὶ τὸ ἀξίωμα τȣ̃ ἀνδρὸς, ὥςε πολλάκις αὐτȣ̃ μνημονεύων λέγειν· Εἰ μὴ 'Αλέξανδρος ἤμην, [7] Διογένης ἂν ἤμην.

Λακεδαιμόνιος ἀκȣ́σας, ὅτι Φίλιππος "Ολυνθον κατέσκαψεν· 'Αλλ' ȣ̓κ ἀναςῆσαί [8] γε, τοιαύτην, ἔφη, πόλιν ἐκεῖνος ἂν δυνηθείη.

Ὁ Δημήτριος τὴν Μεγαρέων πόλιν καταλαβὼν [9] ἠρώτησε τὸν Στίλπωνα, μή τι τῶν ἐκείνȣ διήρπασαι· [10] Καὶ ὁ Στίλπων ἔφη· μηδένα εἶδον τἀμὰ φέροντα.

Ἡ Σπάρτη, τῶν ὀλιγανθρωποτάτων πόλεων ȣ̓̃σα, δυνατωτάτη τε καὶ ὀνομαςοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη. [11]

Λυκȣ̃ργος, ȣ̓ μιμησάμενος τὰς ἄλλας πόλεις, ἀλλὰ τὰ ἐναντία γνȣ̀ς [12] ταῖς πλείςαις, προέχȣσαν εὐδαιμονίᾳ τὴν πατρίδα ἐπέδειξεν. [13]

"Ην τις παῖς ποτε τῶν Λακεδαιμονίων πληγὰς λαβὼν ὑπ' ἄλλȣ κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐςι, μὴ ȣ̓κ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ.

Ὡς μὴ ὑπὸ λιμȣ̃ ἄγαν πιέζοιντο οἱ παῖδες, ἀπραγμόνως μὲν αὐτοῖς ȣ̓κ ἔδωκε λαμβάνειν, ὧν ἂν δέωνται, κλέπτειν δ' ἐφῆκεν [14] ὁ Λυκȣ̃ργος ἔςιν ἃ, τῷ λιμῷ ἐπικȣρȣ̃ντας.

---

1 δείδω. 2 βλάπτω. 3 διαφθείρω. 4 εἴδω. 5 ἔρχομαι. 6 καταπλήττω. 7 εἰμί. 8 ἀνίςημι. 9 καταλαμβάνω. 10 διαρπάζω. 11 φαίνομαι. 12 γινώσκω. 13 ἐπιδείκνυμι. 14 ἐφίημι.

Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμψαντες, ὡς ἐθαύμαζον ἐκεῖνοι τὴν χάριν, οὐδὲν ἔφασαν [1] μέγα· μίαν γὰρ ἡμέραν ψηφισάμενοι τὸ ἄριστον ἀφελεῖν [2] ἑαυτῶν καὶ τῶν ὑποζυγίων, ταῦτα ἠθροίσαμεν.

Πάντες ἐπιστάμεθα, ὅτι ἥκιστα μὲν οἱ ἐπιφανέστατοι τῶν ἀνθρώπων λανθάνουσιν, ὅ, τι ἂν ποιῶσι.

Τὸν Ἐπαμινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν, ἔφη, μήτε πλείονα γιγνώσκοντι, μήτ' ἐλάττονα φθεγγομένῳ, ῥᾳδίως ἐντυχεῖν [3] ἑτέρῳ.

Μέτελλος ᾤετο [4] δεῖν Ῥωμαίους τοῖς θεοῖς χάριν ἔχειν, ὅτι Σκιπίων ἐν ἑτέρᾳ πόλει, τοιοῦτος ὤν, οὐκ ἐγεννήθη.

Ἐπαῤῥησιάζετο Σόλων πρὸς Κροῖσον, ὑπ' εὐτυχίας ἀβεβαίου διεφθορότα [5] καὶ τρυφῶντα, τὸ τέλος ὁρᾷν κελεύσας.

Ἔλεγεν ὁ Σωκράτης· ἠδίκησα μὲν οὐδένα πώποτε, οὐδὲ πονηρότερον ἐποίησα, εὐεργετῶν δὲ τοὺς ἐμοὶ διαλεγομένους, προῖκα διδάσκων ὅ τι ἐδυνάμην ἀγαθόν.

Erster Abschnitt.

Von dem Artikel.

Τῆς παιδείας ἡ μὲν ῥίζα πικρὰ, γλυκεροὶ δὲ καρποί. Καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι· ἔστι δὲ καρπὸς ἀγαθὸς εὔτακτος βίος.

Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δ' ὀξεῖς θυμοὶ τοῖς λογισμοῖς μετάγονται. Ἰδίας ὁδοὺς ζητοῦσι φιλόπονοι φύσεις.

Τὴν φιλοσοφίαν πρῶτος εἰς Ἕλληνας ἐκόμισε Πυθαγόρας ὁ Σάμιος. Ἐτελεύτα ὁ Ἰσοκράτης ὀλίγαις ἡμέραις ὕστερον τῆς ἐν Χαιρωνείᾳ μάχης. Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι [6] Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει.

---

1 Φημί. 2 ἀφαιρέω. 3 ἐντυγχάνω. 4 οἴμαι. 5 διαφθείρω. 6 γράφω.

Ἀγησίλαος, ὁ δόξας εἶναι Λακεδαιμονίων φρονιμώτατος, ὑπέστη [1] διαβήσεσθαι [2] εἰς τὴν Ἀσίαν, καὶ πειράσεσθαι εἰρήνην ποιῆσαι, ἢ, ἂν πολεμεῖν βέληται ὁ βάρβαρος, ἀσχολίαν αὐτῷ παρέξειν [3] ςρατεύειν ἐπὶ τὲς Ἕλληνας.

Ὁ μὲν Πέρσης νομίζων, ἢν χρήματα πλεῖςα ἔχῃ, πάνθ' [4] ὑφ' ἑαυτῷ ποιήσεσθαι, διὰ τἔτο πᾶν μὲν τὸ ἐν ἀνθρώποις χρυσίον, πᾶν δὲ τὸ ἀργύριον, πάντα δὲ τὰ πολυτελέςατα ἐπειρᾶτο πρὸς ἑαυτὸν ἀθροίζειν.

Προτρέπετε τὲς νεωτέρες ἐπ' ἀρετὴν, μὴ μόνον παραινἔντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύντες, ὁποίες εἶναι χρὴ τὲς ἄνδρας τὲς ἀγαθές.

Ὅσῳ κρεῖττον ψυχὴ σώματος, τοσἔτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν, ἢ οἱ τῶν σωμάτων, ἀξιοσπεδαςότεροι.

Ἡ Ἀργείων πόλις Ἀγαμέμνωνα παρέσχε, [5] τὸν ἐ μίαν ἐδὲ δύο μόνον ἔχοντα ἀρετὰς, ἀλλὰ πάσας ὅσας ἔχοι τις ἂν εἰπεῖν.

Ἐτίμησεν ὁ Ἀλέξανδρος τὲς ἐγγόνες τὲς τἔ Πινδάρε, καὶ τὴν οἰκίαν αὐτἔ μόνην εἴασεν [6] ἑςάναι [7], ὅτε εἷλε [8] τὴν Θηβαίων πόλιν.

Ὁ τἔ φίλε τρόπος, ὥσπερ ὁ τῆς ἀληθείας μῦθος, ἁπλἔς ἐςι καὶ ἀφελὴς καὶ ἄπλαςος.

Ἡ μὲν τἔ σώματος ἰσχὺς γηράσκει, ἡ δὲ τῆς ψυχῆς ῥώμη τῶν ἀγαθῶν ἀνδρῶν ἀγήρατός ἐςι.

Ἐν μὲν ταῖς ἄλλαις πόλεσιν ὡς τὸ πολὺ οἱ ἥλικες ἀλλήλοις σύνεισι, μεθ' ὧνπερ καὶ ἐλαχίςη αἰδὼς παραγίγνεται· ὁ δε Λυκἔργος ἐν τῇ Σπάρτῃ ἀνέμιξε παιδεύεσθαι τὰ πολλὰ τὲς νεωτέρες ὑπὸ τῆς τῶν γεραιτέρων ἐμπειρίας.

Θεὶς [9] γὰρ τὲς γέροντας κυρίες τἔ περὶ τῆς ψυχῆς ἀγῶνος, διέπραξεν [10] ἐντιμότερον εἶναι τὸ γῆρας τῆς τῶν ἀκμαζόντων ῥώμης.

---

1 ὑφίςημι. 2 διαβαίνω. 3 παρέχω. 4 statt πάντα. 5 παρέχω. 6 ἐάω. 7 ἵςημι. 8 αἱρέω. 9 τίθημι. 10 διαπράττω.

Εἰς Λακεδαίμονα παραγενόμενός τις, καὶ τὴν πρὸς τὲς πρεσβυτέρες τῶν νέων τιμὴν θεασάμενος, ἐν Σπάρτῃ μόνῃ, εἶπε, λυσιτελεῖ γηράσκειν.

Τὸ μὲν μηδὲν συνόλως ἁμαρτάνειν, ἴδιον θεȣ̃. Τȣ̃το μάλιςα σοφίας ἴδιον, τὸ καιρὸν ἑκάςων ἐπίςασθαι. Καλὸν τὸ καιρȣ̃ παντὸς εἰδέναι μέτρον.

Οὐδενὶ ὅτως ἔοικε προστάττειν ὁ θεὸς, ὡς τῷ μέλλοντι ψέγειν ἕτερον, τὸ γνῶθι [1] σαυτόν.

Ὀρθῶς ἔχειν νομίζω τὸ· Βλὰξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ φιλεῖ ἐπτοῆσθαι.

Ἠθικώτερον οἶμαι, τȣ̃ ἠδίκησας καὶ ἠσχημόνησας καὶ ὀκ ἐπέσησας, [2] τὸ ἠγνόησας, καὶ τὸ μὴ φιλονίκει πρὸς τὸν ἀδελφὸν, ἢ τὸ μὴ φθόνει τῷ ἀδελφῷ.

Τῆς γενέσεως ἡμῶν τὸ μέν τι ἡ πατρὶς μερίζεται, τὸ δέ τι οἱ γεννήσαντες, τὸ δὲ οἱ λοιποὶ φίλοι.

Εὖ μὲν εἶπε Θεόφρασος, εἰ κοινὰ τὰ φίλων ἐςὶ, μάλιςα δεῖ κοινὲς τῶν φίλων εἶναι τὲς φίλες· ὀχ ἥκιςα δ᾽ ἄν τις ἀδελφοῖς τȣ̃το παραινέσειεν.

Τῶν Ἑλλήνων οἱ φάσκοντες κάλλιςα τὲς υἱεῖς παιδεύειν, εὐθὺς πέμπȣσιν εἰς διδασκάλων, μαθησομένȣς [3] καὶ γράμματα καὶ μȣσικὴν, καὶ τὰ ἐν παλαίςρᾳ.

Φίλιππος Ἀφθόνητον ἐμαςίγωσεν, ὅτι τὴν τάξιν ἐκλιπὼν ἐξετράπετο [4] τῆς ὁδȣ̃ διψήσας, καὶ παρῆλθεν [5] εἰς πανδοκέως.

Σωκράτης περὶ ψυχῆς ἐφιλοσόφει, καὶ περὶ τῶν ἐν ᾅδȣ ἐξηγεῖτο, ὁπόσα μὲν ἀγαθὰ ἐκεῖ περιμένει, ὁπόσα δὲ κακίαν τιμωρήματα καὶ κολαςήρια.

Οὐδὲν ἄλλο ἔχȣσα εἰς ᾅδȣ ἡ ψυχὴ ἔρχεται πλὴν παιδείας τε καὶ ἀρετῆς.

Ὑγίεια ὁ μισθὸς, ὁ ἐκ τῆς ἐγκρατείας (γιγνομένη). Ἀρετὴ ἡ ὁδὸς ἡ εἰς σωτηρίαν (ἄγȣσα).

---

1 γινώσκω. 2 ἐφίσημι. 3 μανθάνω. 4 ἐκτρέπω. 5 παρέρχομαι.

Δημοσίᾳ τῆ θηρᾶν ἐπιμέλονται οἱ Πέρσαι, ὅτι ἀληθεςάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι.

Φασὶ τὸν Παῤῥάσιον μηδὲ ἄκοντα, μηδὲ ἐπιπόνως τὰ ἐν τῇ τέχνῃ χειρȣργεῖν, πάνυ δὲ εὐθύμως, καὶ ῥᾳδίως.

Οἵ τε τῶν παραυτίκα ἡδονῶν ἀπεχόμενοι, ȣ̓χ ἵνα μηδέποτε εὐφρανθῶσι,[1] τȣ̃το πράττȣσιν, ἀλλ' ὡς, διὰ ταύτην τὴν ἐγκράτειαν, πολλαπλάσια εἰς τὸν ἔπειτα χρόνον εὐφρανȣ́μενοι, ȣ̔́τω παρασκευάζονται.

Τȣ̀ς θησαυρȣ̀ς τῶν πάλαι σοφῶν ἀνδρῶν, ȣ̔̀ς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων κοινῇ σὺν τοῖς φίλοις διέρχομαι.

Κῦρος· Ἆρα ἐννοεῖτε, ἄνδρες, ὅτι ὁ νῦν ἀγών ἐςὶν ȣ̓ μόνον περὶ τῆς τήμερον νίκης, ἀλλὰ καὶ περὶ τῆς πρόσθεν, ἣν ἐνικήσατε, καὶ περὶ πάσης εὐδαιμονίας;

Οἱ φίλοι τῆς ἀρετῆς — ὅταν ἔλθῃ τὸ πεπρωμένον τέλος, ȣ̓ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνȣ́μενοι θάλλȣσι.

Ῥᾷςόν ἐςι τῶν ὄντων τὸ μέμψασθαι τὸν πλησίον.

Τὰ ἄνω ζητεῖτε, ȣ̔̃ ὁ Χριςός ἐςιν ἐν δεξιᾷ τȣ̃ θεȣ̃ καθήμενος· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς.

Ἦν καὶ Ἀπελλῆς ὁ ζωγράφος, καὶ Λύσιππος ὁ πλάςης κατ' Ἀλέξανδρον· ὧν ὁ μὲν ἔγραψε τὸν κεραυνοφόρον ȣ̔́τως ἐναργῶς καὶ κεκραμένως, ὥςε λέγειν, ὅτι δυοῖν Ἀλεξάνδρων, ὁ μὲν Φιλίππȣ γέγονεν ἀνίκητος, ὁ δ' Ἀπελλȣ̃ ἀμίμητος.

Περὶ μὲν τὴν τȣ̃ σώματος ἐπιμέλειαν διττὰς εὗρον[2] ἐπιςήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ γυμναςικήν· ὧν ἡ μὲν τὴν ὑγείαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι.

Διονύσιος ἐν τραγῳδίᾳ γράψας αὐτὸς, Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ· ὅμως τῶν θυγατέρων τὴν μὲν Ἀρετὴν, τὴν δὲ Σωφροσύνην ὠνόμασε, τὴν δὲ Δικαιοσύνην.

---

1 εὐφραίνω. 2 εὑρίσκω.

Ἡ πόλις τῶν Ἀθηναίων μήτηρ καὶ τροφὸς εὐμενὴς τεχνῶν γέγονε, τὰς μὲν εὑραμένη [1] καὶ ἀναφήνασα [2] πρώτη, ταῖς δὲ δύναμιν προσθεῖσα [3] καὶ τιμὴν καὶ αὔξησιν.

Ἐξ ἀνάγκης συμβαίνει, ὅταν μάχη γίγνηται, τοῖς μὲν ἡττᾶσθαι, τοῖς δὲ νικᾶν.

Οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μὲν, τὰς δ' ȣ̓· ȣ̓δὲ πάντων, ἀλλὰ τῶν μὲν, τῶν δ' ȣ̓· τί φής; ταῦτα ȣ̓χὶ καλῶς λέγεται;

Μήτε γέλωτα προπετῆ ςέργε, μήτε λόγων μετὰ θράσȣς ἀποδέχȣ· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν.

Ἄκȣέ μȣ· Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται. Κȣ̓κ ἔςιν αὐτῶν, ὅςις ἐξεπίςαται, τὴν αὔριον μέλλȣσαν εἰ βιώσεται. Τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται. [4]

Οἱ πολλὰ πταίοντες, καὶ μὴ κολαζόμενοι, φοβεῖσθαι καὶ δεδοικέναι [5] ὀφείλȣσιν, αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας διὰ τῆς ἀτιμωρησίας καὶ τῆς μακροθυμίας τȣ̃ θεȣ̃.

Zweyter Abschnitt.

Von dem Substantiv und Adjektiv; von dem Pronomine; von Fragen und Antworten.

Αἱ δυναςεῖαι καὶ ὁ πλȣ̃τος διὰ τὴν τιμήν ἐςιν αἱρετά.

Ἡ ἀργία καὶ ἡ ἀμέλεια ȣ̓δὲν χρήσιμα, ἡ δὲ ἐργασία καὶ ἡ ἐπιμέλεια ὠφέλιμα.

Ἄγειν ἐπιχειρȣ̃σιν οἱ μὲν καλοὶ κἀγαθοὶ ἐπὶ τὰ καλὰ κἀγαθά· οἱ δὲ πονηροὶ ἐπὶ τὰ πονηρά.

Τοῖς ἑτέροις (statt ὑφ' ἑτέρων) πεποιημένων, ὕςατός τις ἐλθὼν τὴν δόξαν ἔχει.

Οὐ χρὴ παννύχιον εὕδειν βȣληφόρον ἄνδρα.

Συγκαλέσας ὁ Κῦρος τȣ̀ς ταξιάρχȣς, ἔλεξε τοιάδε· Ἄνδρες φίλοι, γιγνώσκω μὲν, ὅτι νῦν ἔξεςιν ἡμῖν προτέροις τῶν ἀπόντων συμμάχων ἀρίςȣ τυχεῖν. [6]

---

1 εὑρίσκω. 2 ἀναφαίνω. 3 προστίθημι. 4 προβαίνω. 5 δείδω. 6 τυγχάνω.

Ἤν τις ἐν θήρᾳ πολλάκις ψεύδηται κύνας, τελευτῶσαι, ἐδ' ὁπόταν ἀληθῶς τὸ θηρίον ὁρῶν καλῇ, πείθονται αὐτῷ· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, ἐδ' ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιῦτος, πείθειν δύναται.

Τοῖς ἄκυσιν ἁμαρτῦσι[1] μέτεσι συγγνώμης, ὐ τοῖς ἐπιβυλεύσασι. — Ἄξιοί γε μέντοι ἐσμὲν τῦ γεγενημένυ πράγματος τύτυ ἀπολαῦσαί τι ἀγαθόν.

Δῆλός ἐςιν ὁ Φιλόσοφος ἀπολύων ὅτι μάλιςα τὴν ψυχὴν ἀπὸ τῆς τῦ σώματος κοινωνίας τῶν ἄλλων ἀνθρώπων.

Ἐπειδὰν ἱκανῶς ἐρωτήσῃς, δίκαιος εἶ λόγον ἐν μέρει διδόναι.

Ὁπότε δὴ τὸ ἀθάνατον καὶ ἀδιαφθορόν ἐςιν, ἄλλο τι ψυχὴ, ἢ, εἰ ἀθάνατος τυγχάνει ὖσα, καὶ ἀνόλεθρος ἂν εἴη;

Πᾶν σύντροφον γλυκύ. Τὸ ἄκαιρον πανταχῦ λυπηρόν. Ἡ Φιλία μέγιςον ἀγαθὸν καὶ ἥδιςον ἀνθρώποις ἐςὶ, τὸ δὲ τῦ κόλακος ἔργον ὐδὲν ἔχει δίκαιον, ὐδ' ἀληθινὸν, ὐδ' ἁπλῦν, ὐδ' ἐλευθέριον.

Σοφοκλῆς. Τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ ζητῶ, τὰ δ' εὐκτὰ παρὰ τῶν θεῶν ἠτησάμην.

Γνώσῃ[2] τὸ θεῖον, ὅτι τοσῦτον καὶ τοιῦτόν ἐςιν, ὥσθ' ἅμα πάντα ὁρᾷν, καὶ πάντα ἀκύειν, καὶ πανταχῦ παρεῖναι, καὶ ἅμα πάντων ἐπιμελεῖσθαι.

Τὸ ἵλεων καὶ πρᾶον καὶ Φιλάνθρωπον ὐδενὶ τῶν συνόντων εὐμενές ἐςιν ὕτω καὶ Φίλον καὶ ἄλυπον, ὡς αὐτοῖς τοῖς ἔχυσιν.

Πλάτωνος ἀπομιμεῖσθαί Φασι τὺς συνήθεις τὸ ἐπίκυρτον, Ἀριςοτέλυς δὲ τὸν τραυλισμὸν, Ἀλεξάνδρυ δὲ τῦ βασιλέως, τὴν ἔγκλισιν τῦ τραχήλυ, καὶ τὴν ἐν τῷ διαλέγεσθαι τραχύτητα τῆς Φωνῆς.

Ἀλλὰ μὴν ἄξιόν γε τῦ Ἀγησιλάυ καὶ τὸ εὔχαρι μὴ σιωπᾶσθαι. Τὸ μὲν μεγάλαυχον ὐκ ἂν εἶδέ τις,

---

1 ἁμαρτάνω. 2 γινώσκω.

τὸ δὲ φιλόςοργον καὶ θεραπευτικὸν τῶν φίλων καὶ μὴ ζητῶν κατενόησεν ἄν. Τίς μὲν γὰρ τοῖς ἐχθροῖς ἀκμάζων ἔτω φοβερὸς ἦν, ὡς Ἀγησίλαος τὸ μήκιςον τῦ αἰῶνος ἔχων;

Ἔνιοι ἐξυβρίζυσιν, ἐκ ἐνθυμέμενοι τὸ τῆς τύχης ἄςατον καὶ ἀβέβαιον, ἐδ' ὅτι ῥαδίως τὰ ὑψηλὰ γίνεται ταπεινὰ, καὶ τὰ χθαμαλὰ πάλιν ὑψῦται.

Ὅρα τὸ μέλλον, ἀσφαλὲς τὸ γενόμενον, ἀσαφὲς τὸ μέλλον, τὸ γεγονὸς ἐκ ἐνδέχεται μὴ γενέσθαι. Μόνον ἔφασκεν Ἀρίςιππος ἡμέτερον εἶναι τὸ παρὸν, μήτε δὲ τὸ φθάνον, μήτε τὸ προσδοκώμενον. Τὸ μὲν γὰρ ἀπολωλέναι,[1] τὸ δὲ ἄδηλον εἶναι, εἴπερ ἔςαι.

Κυφότατον ἵπποι καὶ ὠκύτατον, ἀνθρώποις δὲ θέυσι. Μάχιμον κύων καὶ θυμοειδὲς, ἀλλ' ἄνθρωπον φυλάττει. Ἥδυτατον ἰχθῦς, καὶ ῦς πολύσαρκον, ἀνθρώποις δὲ τροφὴ καὶ ὄψον ἐςί.

Πονηρὸν ὁ συκοφάντης ἀεί. Θεῖον ἡ ἀλήθεια, καὶ πάντων μὲν ἀγαθῶν θεοῖς, πάντων δ' ἀνθρώποις ἀρχὴ κατὰ Πλάτωνα.

Φιλικὸν ἡ παῤῥησία καὶ σεμνόν· ἡ δὲ μέμψις καὶ φίλαυτον καὶ μικρολόγον· ἡ ἀπραγμοσύνη γλυκὺ μὲν, ἀλλ' ἄδοξον καὶ ταπεινόν.

Διδάξομεν τὸν νέον ἀςεῖον ἡγεῖσθαι τὴν ἀτυφίαν καὶ μετριότητα, τὴν δὲ μεγαλαυχίαν καὶ περιαυτολογίαν, ὡς φαῦλον, εὐλαβεῖσθαι.

Εὐλόγει ἡ ψυχή μυ τὸν κύριον, καὶ πάντα τὰ ἐντός μυ τὸ ὄνομα τὸ ἅγιον αὐτῦ. Εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτῦ, ἐν παντὶ τόπῳ τῆς δυναςείας αὐτῦ.

Ἐν πᾶσι τοῖς ἔργοις συ μιμνήσκυ τὰ ἔσχατά συ, καὶ ὐχ ἁμαρτήσεις.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς ὐρανοῖς, ἁγιασθήτω τὸ ὀνομά συ.

---

1 ἀπολλύω.

Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ ἐράνιος, ὅτι χρήζετε τέτων ἁπάντων.

Ὅσῳ ἂν ἐῤῥωμενεςέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τεσέτῳ μᾶλλον τὴν σεαυτῦ διάνοιαν ἀσκήσεις.

Διὰ παντὸς τῦ χρόνε τὴν ἀλήθειαν ἕτω φαίνε προτιμῶν, ὥςε πιςοτέρες εἶναι τὲς σὲς λόγες, ἢ τὲς τῶν ἄλλων ὅρκες.

Πατὴρ πρὸς τὲς παῖδας· θαῤῥεῖτε μὴ διὰ τὴν ἐμὴν μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν.

Πατέρες σώφρονες· Διδασκάλοις σώφροσι καὶ φιλοπόνοις παρακατατιτώμεθα τὲς ἡμετέρες αὐτῶν παῖδας.

Ὁ τὸν ἑαυτῦ παῖδα πολλῦ ἄξιον ἀποδείξας, κἂν ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκε.

Φιλοσόφε ςάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτῦ προσδοκᾶ.

Πολλοὶ ἐ δυνάμενοι τὰ σφέτερ' αὐτῶν διοικῆσαι, βέλονται τοῖς ἄλλοις συμβελεύειν.

Οἱ ὀρθῶς φιλόσοφοι ἀπέχονται τῶν κατὰ τὸ σῶμα ἐπιθυμιῶν ἁπασῶν, καὶ καρτερῦσι καὶ ἐ παραδιδόασιν αὐταῖς αὑτές.

Ὁ θεὸς ἕτω πως ἐποίησε· τοῖς μὴ θέλεσιν ἑαυτοῖς προστάττειν ἐκπονεῖν τἀγαθὰ, ἄλλες αὐτοῖς ἐπιτακτῆρας δίδωσι.

Χρηςοὶ καὶ δίκαιοι παῖδες ἐ μόνον διὰ τὲς γονεῖς ἀγαπήσεσι μᾶλλον ἀλλήλες, ἀλλὰ καὶ τῦς γονεῖς δι' ἀλλήλες. Τὲς ἀγαθὲς χρὴ εὐνοεῖν ἀλλήλοις. Πείθοντες διαπραττώμεθα παρ' ἀλλήλων, ἃ βελόμεθα, μὴ μαχόμενοι, μηδὲ φιλονεικῦντες.

Αἱ ἰδίᾳ καὶ χωρὶς ὁμιλίαι καὶ συνήθειαι πρὸς ἀλλήλες ἀποςρέφεσι καὶ ἀπάγεσιν ἀπ' ἀλλήλων τὲς ἀδελφές. Τῶν θηρίων πόλεμός ἐςι πρὸς ἄλληλα τοῖς ἀπὸ τῶν αὐτῶν τρεφομένοις.

Μάλιστα, ἔφη ὁ Σωκράτης, τῶν ἐμῶν κατηγόρων ἓν ἐθαύμασα τῶν πολλῶν, ὧν ἐψεύσαντο, τȣ̃το, ἐν ᾧ ἔλεγον, ὡς χρῆν ὑμᾶς εὐλαβεῖσθαι, μὴ ὑπ' ἐμȣ̃ ἐξαπατηθῆτε, ὡς δεινȣ̃ ὄντος λέγειν.

Ἡ κακία τῷ Ἡρακλεῖ ὑπισχνεῖται· οἷς ἂν οἱ ἄλλοι ἐργάζονται, τȣ́τοις σὺ χρήσῃ, ȣ̓δενὸς ἀπεχόμενος.

Τινὲς ὑπὲρ τῆς δόξης, ἧς ἔμελλον τελευτήσαντες ἕξειν, ȣ̔́τως ἑτοίμως ἤθελον ἀποθνήσκειν.

Οὐδὲ νῦν τοι τήν γε ἐμὴν ψυχὴν ἑωρᾶτε, ἔφη ὁ Κῦρος πρὸς τȣ̀ς παῖδας, ἀλλ' οἷς διεπράττετο, τȣ́τοις αὐτὴν ὡς ȣ̓̃σαν κατεφωρᾶτε.

Μεγαλόφρονας νόμιζε, μὴ τȣ̀ς μείζω περιβαλλομένȣς, ὧν οἷοί τ' εἰσὶ κατασχεῖν.[1] Εὐγνώμων, ὁ μὴ λυπȣ́μενος ἐφ' οἷς μὴ ἔχει, ἀλλὰ χαίρων ἐν οἷς ἔχει.

Ἂν δὲ λοιδορῆσαι προαχθῇς, ἄπαγε πορρωτάτω σεαυτὸν ὧν λοιδορεῖς ἐκεῖνον. Καὶ τȣ̃το τῆς κακίας ἴδιόν ἐστι, τὸ τȣ̀ς ἐχθρȣ̀ς αἰσχύνεσθαι μᾶλλον, ἢ τȣ̀ς φίλȣς, ἐφ' οἷς ἐξαμαρτάνȣσιν.

Οὐδὲ Πυθαγόρας ἔγραψεν ȣ̓δὲν, ȣ̓δὲ Σωκράτης — οἱ δοκιμώτατοι τῶν φιλοσόφων — πόθεν ȣ̓̃ν ἐπιστεύθησαν ἐκεῖνοι φιλοσοφεῖν; ἀφ' ὧν εἶπον, ἢ ἀφ' ὧν ἐβίωσαν, ἢ ἀφ' ὧν ἐδίδαξαν; ἀπὸ τȣ́των κρινέσθω καὶ Ἀλέξανδρος· ὀφθήσεται[2] γὰρ οἷς εἶπεν, οἷς ἔπραξεν, οἷς ἐπαίδευσε, φιλόσοφος.

Χρὴ τȣ̀ς νȣ̃ν ἔχοντας περὶ μὲν ὧν ἴσασι, μὴ βȣλεύεσθαι, περίεργον γὰρ, ἀλλὰ πράττειν, ὧν ἐγνώκασι.[3]

Σόλων ἐν ἅπασιν, οἷς ἐτίθει νόμοις, μεγάλην πρόνοιαν ἐποιεῖτο τῆς πολιτείας.

Θεμιστοκλῆς ἐν ταῖς πρώταις τῆς νεότητος ὁρμαῖς ἀνώμαλος ἦν καὶ ἀστάθμητος — ὡς ὕστερον αὐτὸς ὡμολόγηκε, τȣ̀ς τραχυτάτȣς πώλȣς ἀρίστȣς ἵππȣς γίνεσθαι φάσκων, ὅταν, ἧς προσήκει, τύχωσι παιδείας καὶ καταρτύσεως.

Ἃς οἱ ζωγράφοι πράξεις ὡς γιγνομένας δεικνύȣσι,

---

1 κατέχω. 2 ὅπτομαι. 3 γινώσκω.

ταύτας οἱ λόγοι γεγενημένας διηγȣ̃νται καὶ συγγράφȣσιν· οἱ μὲν χρώμασι καὶ σχήμασιν, οἱ δ' ὀνόμασι καὶ λέξεσι ταυτὰ δηλȣ̃σι.

Κῦρος πρὸς Γωβρύαν· πολλοὶ καὶ ἀγαθοὶ φίλοι εἰσὶν ἐμοὶ, καὶ εἰσί τινες αὐτῶν, οἳ, ὧν μὲν σὺ δίδως χρημάτων, ȣ̓δὲ μικρὸν τȣ́των ἕνεκά σε μᾶλλον θαυμάσȣσιν.

Ἀλλὰ μὴν καὶ περὶ τȣ̃ δικαίȣ γε, ȣ̓κ ἀπεκρύπτετο ὁ Σωκράτης, ἣν εἶχε γνώμην, ἀλλὰ καὶ ἔργῳ ἐπεδείκνυτο.

Τȣ̀ς μὲν ἀνδριαντοποιȣ̀ς δοκιμάζομεν, ȣ̓ τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τȣ̀ς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον [1], τȣ́τῳ πιςεύομεν καὶ τȣ̀ς λοιπȣ̀ς εὖ ποιήσειν.

Ὃς ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τȣ̃τον ποιεῖσθαι;

Ὅς τις δὲ, ὃν ἂν γνῷ [2] εὔφυα ὄντα, διδάσκων, ὅ, τι ἂν ἔχῃ ἀγαθὸν, φίλον ποιεῖται, τȣ̃τον νομίζομεν, ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει, ταῦτα ποιεῖν.

Ἐν ᾧ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπȣ, ἁμαρτάνων δὲ ζημιωθήσεται.

Ποιήματα ὁ Σωκράτης ἐν τῷ δεσμωτηρίῳ πεποίηκε, λέγων· ȣ̔̀ς προχείρȣς εἶχον, καὶ ἠπιςάμην, μύθȣς τȣ̀ς Αἰσώπȣ, τȣ́των ἐποίησα οἷς πρώτοις ἐνέτυχον.

Οὐκ ἔςιν, ὅ, τι ἄν τις μεῖζον τȣ́τȣ κακὸν πάθοι [3], ἢ λόγȣς μισήσας· γίγνεται δὲ ἐκ τȣ̃ αὐτȣ̃ τρόπȣ μισολογία τε καὶ μισανθρωπία.

Δυσαναβίβαςος ἡ ψυχὴ ἐπὶ ταῦτα, ἀφ' ὧν ὠλίσθησε καλῶν, δυσεκβίβαςός τε τȣ́των, ὧν συνειθίσθη [4] κακῶν.

Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι [5], δι' ὧν ἂν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖςον πρὸς ἀρετὴν ἐπιδȣ̃ναι [6], καὶ παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἅπασιν εὐδοκιμῆσαι.

---

1 ἐργάζομαι. 2 γινώσκω. 3 πάσχω. 4 συνεθίζω. 5 ὑποτίθεμαι. 6 ἐπιδίδωμι.

Ἆρά γε ἡ οἰκονομία ἐπιστήμης τινὸς ὄνομά ἐστιν, ὥσπερ ἡ ἰατρικὴ, καὶ ἡ χαλκευτικὴ καὶ ἡ τεκτονική; Ἔμοιγε δοκεῖ.

Ἦ καὶ τὸν ἄλλου δὲ οἶκον, εἰ ἐπιτρέποι τις τῷ οἰκονόμῳ ἀγαθῷ, οὐκ ἂν δύναιτο, εἰ βούλοιτο, εὖ οἰκεῖν, ὥσπερ καὶ τὸν ἑαυτοῦ; Ἔμοι γε δοκεῖ.

Ὁ Σωκράτης, εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, κατέμαθες[1] πρὸς τῷ ναῷ που (ἐν Δελφοῖς) γεγραμμένον τὸ Γνῶθι σαυτόν; Ἔγω γε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν, ὅστις εἴης; Μὰ Δί', οὐ δῆτα, ἔφη.

Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν, ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις ἑαυτὸν ἐπισκεψάμενος, ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν ἑαυτοῦ δύναμιν; Οὕτως ἔμοι γε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν.

Οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; Ἔγωγε. Πότερον διὰ σοφίαν ἢ δι' ἀμαθίαν; Δῆλον ὅτι δι' ἀμαθίαν. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατεινομένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν; Ἀλλὰ, νὴ τοὺς θεούς.

Οὐκ ἄρα οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι; Οὐχ οἷόν τε. Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων, ἄθλιοι; Σφόδρα γε. Οὐκ ἄρα οὐδ' ὁ πλουτήσας, ἀθλιότητος ἀπαλλάττεται, ἀλλ' ὁ σωφρονήσας; Φαίνεται.

Φαίνεταί σοι φιλοσόφου ἀνδρὸς εἶναι, ἐσπουδακέναι περὶ τὰς ἡδονὰς καλουμένας τὰς τοίας δε, οἷον σιτίον τε καὶ ποτῶν; Ἥκιστά γε.

Σιμωνίδης μὲν ἀπεκρίνατο πρὸς τὸν εἰπόντα· Τί δὴ μόνους οὐκ ἐξαπατᾷς Θετταλούς· Ἀμαθέστεροι γάρ εἰσιν, ἢ ὡς ὑπ' ἐμοῦ ἐξαπατᾶσθαι.

Τήλεκλος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, Σὺ γὰρ, εἶπεν, οὐκ οἶδας ἀδικεῖσθαι.

---

1 καταμανθάνω.

Dritter Abschnitt.

Gebrauch des Nominativs.

Ἀναξαγόραν τὸν Κλαζομένιόν φασι μὴ γελῶντά ποτε ὀφθῆναι, μήτε μειδιῶντα τὴν ἀρχήν. Λέγουσι δὲ καὶ Ἀριστόξενον τῷ γέλωτι ἀνὰ κράτος πολέμιον γενέσθαι. Ἡράκλειτόν τε, ὅτι πάντα τὰ ἐν τῷ βίῳ ἔκλαεν.[1]

Πλάτων ὁ Ἀρίστωνος ὑπὸ πενίας, φασὶ, καταπονούμενος ἔμελλεν ἐπὶ στρατείαν ἀποδημῆσαι.

Κοινὴ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον. Πλησμονὴ ἁπάντων. Νόμοι ἄριστοι, οἱ δικαιότατοι. Οἱ ἀγαθοὶ εὐαπάτητοι. Πολυτελὲς ἀνάλωμα ὁ χρόνος. Οὐδεὶς ῥᾴθυμος εὐκλεὴς ἀνήρ. Φαῦλος κριτὴς καλοῦ πράγματος ὄχλος.

Πρὸς δύο οὐδ' Ἡρακλῆς λέγεται οἷός τε εἶναι.

Οἱ νόμοι τῶν Περσῶν ἐπιμέλονται, ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται. Οἱ μὲν δὴ παῖδες, εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην.

Εὔθυμος πύκτης ἀγαθὸς ἦν, ῥώμῃ τε σώματος πεπίστευται θαυμασιώτατος γενέσθαι.

Οἱ προῖκα εὖ πεπονθότες[2], οὗτοι ἀεὶ ἡδέως ὑπηρετοῦσι τῷ εὐεργέτῃ, καὶ διότι εὖ ἔπαθον, καὶ διότι προεπιστεύθησαν ἄξιοι εἶναι παρακαταθήκην χάριτος φυλάττειν.

Τὸν Κῦρον ἀποκρίνασθαι λέγεται, ὦ πάππε· πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν.

Ὁ Σωκράτης τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος εὔκλειαν προσεκτήσατο· ὁμολογεῖται γὰρ οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν.[3]

Προμηθεὺς ὑπ' ἀετοῦ ἐκείρετο τὸ ἧπαρ.

Μῦρον δοχεῖον σαπρὸν οὐ πιστεύεται.

Ὁ τὴν κοινὴν φροντίδα πεπιστευμένος, ὡς ὀφείλων λόγον δοῦναι περὶ ἑκάστου τῶν πεπιστευμένων, οὕτω διακείτο.

---

1 κλαίω. 2 πάσχω. 3 φέρω.

Ἄφες [1] ὁ ἀφεθεὶς, ἐλέησον ὁ ἠλεημένος· ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι. Συγγνωσθῆναι [2] ȣ̓ μετανοȣ̃ντας ἐφ' οἷς ἥμαρτον ἀδύνατον.

Δεῖ τὸν ὀργιζόμενον τὸ τȣ̃ Διογένȣς· Οὗτοί σȣ καταγελῶσιν, ὦ Διόγενες· Ἐγὼ δ' ȣ̓ καταγελῶμαι· λαμβάνειν ἑαυτῷ, καὶ καταφρονεῖσθαι μὴ νομίζειν, ἀλλὰ μᾶλλον ἐκείνȣ καταφρονεῖν, ὡς δι' ἀσθένειαν, ἢ ῥαθυμίαν, ἢ ἀνελευθερίαν πλημμελȣ̃ντος.

Τὸ Μενάνδρειον ὀρθῶς ἔχον, ὡς, Οὐδεὶς ἀγαπῶν ἀμελεῖθ' ἡδέως, ὑπομιμνήσκει καὶ διδάσκει τῶν ἀδελφῶν ἐπιμελεῖσθαι, καὶ μὴ τῇ φύσει πιςεύοντας ὀλιγωρεῖν.

Οὐκ ἀμελεῖται ὑπὸ θεȣ̃ τὰ ἀνδρὸς ἀγαθȣ̃ πράγματα. — Ὁ υἱὸς τȣ̃ ἀνθρώπȣ ȣ̓κ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι.

Ἅπανθ', ὅσα ζῇ, καὶ τὸν ἥλιον βλέπει τὸν κοινὸν ἡμῖν, δȣ̃λα ταῦτ' ἔσθ' ἡδονῆς.

Μόνον ἐςὶ τῶν ἡμετέρων θεοφιλὲς καὶ θεῖον ἀρετὴ, εἴ γε δὴ τὰ ὅμοια χαίρειν τοῖς ὁμοίοις πέφυκεν.

Δύ' ἐςὶ τῶν Δελφικῶν γραμμάτων τὰ μάλις' ἀναγκαιότατα πρὸς τὸν βίον, τὸ Γνῶθι σαυτὸν, καὶ τὸ Μηδὲν ἄγαν· ἐκ τȣ́των γὰρ ἤρτηται [3] καὶ τὰ λοιπὰ πάντα.

Ὡς δι' ὁμίχλης τὰ σώματα, καὶ δι' ὀργῆς τὰ πράγματα μείζονα φαίνεται.

Ποῖα τὰ δένδρα ȣ̓κ, ὀλιγωρηθέντα μὲν, ςρεβλὰ φύεται, καὶ ἄκαρπα καθίςαται, τυχόντα [4] δὲ ὀρθῆς παιδαγωγίας ἔγκαρπα γίγνεται καὶ τελεσφόρα;

Τὰ μὲν ῥᾴδια τȣ̀ς ἀμελȣ̃ντας φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται.

Ὁ πολὺς λαὸς χαίρȣσι κολακεύειν. — Ἐς πόντον νέμονται τὸ Ταυρικὸν ἔθνος. — Πολὺ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν ȣ̓ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσι.

---

1 ἀφίημι. 2 συγγινώσκω. 3 ἀρτάω. 4 τυγχάνω.

Vierter Abschnitt.

Von dem Genitiv.

Λυκȣ̃ργος ἐβȣλήϑη, ȣ̈τε τοῖς βασιλεῦσι τυραννικὸν φρόνημα παραςῆσαι [1], ȣ̈τε τοῖς πολίταις φϑόνον ἐμποιῆσαι τῆς δυνάμεως.

Οἷς ἂν ἐμφυῆ τιμῆς τε καὶ ἐπαίνȣ ἔρως, ȣ̂τοι εἰσὶν ἤδη οἱ πλεῖςον μὲν τῶν βοσκημάτων διαφέροντες, ἄνδρες δὲ καὶ ȣ̓κέτι ἄνϑρωποι μόνον νομιζόμενοι.

Οἱ Λακεδαιμόνιοι καὶ Ἀϑηναῖοι ȣ̓δὲν ἔπρασσον κατὰ τȣ̃ Ἀλεξάνδρȣ, οἱ μὲν εὐνοίᾳ τῇ πρὸς αὐτὸν, οἱ δὲ φόβῳ τῆς δυνάμεως αὐτȣ̃.

Δύο ταῦτα ὥσπερεὶ ςοιχεῖα τῆς ἀρετῆς ἐςιν, ἐλπὶς τε τιμῆς, καὶ φόβος τιμωρίας. Μέγα τεκμήριον εὐφυΐας καὶ ἀρετῆς ἡ τῆς ἀδοξίας εὐλάβεια. Ὄρεξις κτήσεως ἀρχὴ πλεονεξίας.

Ἀνατρέψαι μὲν δύναται ὁ ϑυμὸς, καὶ διαφϑεῖραι, καὶ καταβαλεῖν, ἀναςῆσαι δὲ καὶ σῶσαι, καὶ φείσασϑαι καὶ καρτερῆσαι, πρᾳότητός ἐςι καὶ συγγνώμης. καὶ μετριοπαϑείας, καὶ Καμίλλȣ, καὶ Μετέλλȣ, καὶ Ἀριςείδȣ, καὶ Σωκράτȣς· τὸ δὲ ἐμφῦναι καὶ δακνεῖν, μυρμηκῶδες καὶ μυῶδες.

Κυβερνήτȣ μὲν ἔργον ἀγαϑȣ̃, εἰς τὰς τῶν πνευμάτων μεταβολὰς ἁρμόσασϑαι· ἀνδρὸς δὲ σοφȣ̃, πρὸς τὰς τῆς τύχης.

Πλȣ́τȣ ἐςὶν ὑβρίζειν. Ἡ ἀρετὴ τῶν ἔργων ἐςὶ, τὸ φϑονεῖν φαῦλον καὶ φαύλων. Θεȣ̃ μέν ἐςι τὸ μηδενὸς δεῖσϑαι· τὸ δ᾽ ὡς ἐλαχίςων, ἐγγυτάτω Θεȣ̃.

Κλεπτῶν ἡ νὺξ, τῆς δ᾽ ἀληϑείας τὸ φῶς· Ἴδιον δὲ ἀνδρὸς ἀγαϑȣ̃, τὸ μετὰ κινδύνȣ τὰ καλὰ πράσσειν.

Λεωνίδας ἐρωτηϑεὶς διὰ τί οἱ ἄριςοι τὸν ἔνδοξον ϑάνατον τῆς ἀδόξȣ προκρίνȣσι ζωῆς, Ὅτι, ἔφη, τὸ μὲν τῆς φύσεως ἴδιον, τὸ δὲ, αὐτῶν εἶναι νομίζȣσι.

---

1 παρίςημι.

Εἰσὶν αἱ μὲν ἀρχαὶ τῆς Φύσεως, αἱ δὲ προκοπαὶ τῆς μαθήσεως, αἱ δὲ χρήσεις τῆς μελέτης, αἱ δὲ ἀκρότητες πάντων.

Τὸ τὰς νόμας αὐτὰς τοῖς παραβαίνασι τὰς τιμωρίας ἔχειν, βελτίονος ἢ κατ' ἄνθρωπον νομοθέτα δοκεῖ μοι εἶναι.

Ὁ μὲν Φιλίππα καὶ Ὀλυμπιάδος Ἀλέξανδρος ἐν Βαβυλῶνι τὸν βίον καταςρέψας, νεκρὸς ἔκειτο, ὁ τᾶ Διὸς εἶναι λέγων.

Ἀριςοτέλης σὺν Ἀλεξάνδρῳ τῷ Φιλίππα, νέῳ ὄντι [1], Φιλοσοφῶν ἦν δῆλος. Λύσις δὲ ὁ γνώριμος ὁ Πυθαγόρα, Ἐπαμινώνδαν ἐξεπαίδευσεν.

Ἐδίδασκε Πυθαγόρας τὰς ἀνθρώπας, ὅτι κρειττόνων γεγένηται σπερμάτων, ἢ κατὰ Φύσιν τὴν θνητήν.

Ὀρθῶς Ἀντισθένης ἔλεγεν, ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τὰ ἀγαθὰ, πλὴν ἀνδρείας· γίνεται γὰρ ἅτως ἀ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατάντων.

Οὐκ ἔςι παισὶ τάτα κάλλιον γέρας, ἢ πατρὸς ἐσθλᾶ κἀγαθᾶ πεφυκέναι.

Ὡς ὁ Πλάτων ὀγδοήκοντα ἐτῶν ἐγεγόνει, ὁμᾶ τι καὶ διὰ τὴν ἡλικίαν ἐπελελοίπει [2] τὰ τῆς μνήμης αὐτόν.

Ἐθίζονται οἱ παῖδες τῶν Λακεδαιμονίων σκότας καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν.

Διογένης τὴν εἰς Ἀθήνας ἐκ Κορίνθα, καὶ πάλιν εἰς Κόρινθον ἐκ Θηβῶν μετάβασιν αὐτᾶ, παρέβαλε ταῖς βασιλέως, ἔαρος ἐν Σάσοις, καὶ χειμῶνος ἐν Βαβυλῶνι, θέρας δ' ἐν Μηδίᾳ, διατριβαῖς.

Οὐχ ἅμα πᾶσαν ἐξαίφνης ἀποφεύγομεν κακίαν — ἀκ ἔςι τάχος τοσᾶτον τῆς μεταβολῆς καὶ μέγεθος, ὥςε τὸν πρωῒ κάκισον, ἑσπέρας γεγονέναι κράτισον.

Σελίνα ςέφανος πένθιμός ἐςι.

Κῦρος· Ἄνδρες Φίλοι — θαῤῥεῖτε· ἢν γὰρ ἀναβῶσί [3] τινες (τῶν Βαβυλωνίων) ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον

---

1 ὤν. 2 ἐπιλείπω. 3 ἀναβαίνω.

θεὸν Ἥφαιςον. Εὔφλεκτα δὲ τὰ πρόθυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκκαύματι κεχρισμέναι.[1]

Πολιτεία μήτε φθόνου ἐνηνοχυῖα[2], μήτε ζῆλον, ἢ φιλονεικίαν, ἔχθρας γονιμώτατα πάθη, μέχρι νῦν ἐ γέγονεν· ἀλλ' εἰ μηδὲν ἄλλο, ταῖς ἔχθραις αἱ φιλίαι συμπλέκεσιν ἡμᾶς.

Τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν ἐκ οἶσθα, ὅτι οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τῦ τοῖς νόμοις πείθεσθαι, ἔτοι ἄριςοί εἰσι;

Πλείςων μὲν ἐν ἀγαθῶν αἰτίες, καὶ μεγίςων ἐπαίνων ἀξίες ἡγεμαι γεγενῆσθαι τὲς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας.

Ἐξαμαρτάνεσιν οἱ γῆν πολλὴν κτώμενοι τοῖς υἱέσιν, αὐτῶν δὲ μὴ ἐπιμελόμενοι· ἃ γὰρ κεκτήσονται[3], πολλῦ ἄξια νομισθήσεται[4] αὐτοὶ δὲ ὀλίγε, προσήκει δὲ τὸ φυλάττον τῦ κτησθέντος ἀξιοτιμότερον εἶναι.

Ουδὲν ἀντάξιον γνησίε φίλε.

Προσήκει μᾶλλον ἔμπειρον εἶναι τῶν εὐςομάχων, ἢ τῶν εὐςόμων· καὶ τῶν τὴν πέψιν μὴ ταραττόντων, ἢ τῶν τὴν γεῦσιν σφόδρα γαργαλιζόντων.

Ποῖον ἐπιχειρήσομεν φίλον ποιεῖσθαι; Οἶμαι μὲν, ὃς ἐγκρατὴς μὲν ἐςι τῶν διὰ τῦ σώματος ἡδονῶν, εὔοργος δὲ καὶ εὐξύμβολος ὢν τυγχάνει.

Φημὶ χρῆναι νῦν ἐπιταθῆναι ἡμᾶς εἰς ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν, ἢ ἄριςον καὶ ἥδιςον, ἀπολαύσωμεν, καὶ ὅπως τῦ πάντων χαλεποτάτε ἄπειροι γινώμεθα.

Κενοὶ οἱ Φιλίππε θησαυροὶ χρημάτων, καὶ προσῆν ἔτι δάνειον διακοσίων ταλάντων.

Μωκία περὶ τὸ πρόσωπον, ἄκαιρος ςωμυλία λαλῦντος - πάντα ταῦτα ὡς ἔςιν ἀλλότρια φιλοσόφε, δῆλον.

Στασιαζόντων περὶ τῆς βασιλείας τῶν περὶ Ἀλέξανδρον νεκρὸν, ταφῆς ἄμοιρος ἦν, ἧς μεταλαγχάνεσι καὶ

---

1 χρίω. 2 φέρω. 3 κτάομαι. 4 νομίζω.

οἱ σφόδρα πένητες τῆς Φύσεως τῆς κοινῆς ἀπαιτέσης [1] τὸν μηκέτι ζῶντα κατακρύψαι.

Ὅπως μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησεν ὁ Λυκῆργος, τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι, καὶ ἐπιτάττειν τοῖς παισὶν, ὅ τι ἂν ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν.

Λυκῆργον δὲ τὸν Λακεδαιμόνιον, κατεμεμάθηκας [2], ὅτι ἐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο [3] αὐτῇ.

Ὡς τὰ πολλὰ οἱ ἐγκρατεῖς γενόμενοι τῶν πραγμάτων, μεγαφρονῦσι.

Παρασκευαστικὸν τῶν εἰς πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ καὶ ποριστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις καὶ μηχανικὸν, καὶ ἐργαστικὸν καὶ καρτερικόν.

Καθάπερ ἐστὶ Φυλακτικὸν σώματος ὑγίεια, ἕτω τῆς ψυχῆς φυλακτικὸν καθέστηκε [4] παιδεία.

Ἀγαθὸς ὁ θεὸς, καὶ ἀγαθῶν τοῖς ἀξίοις παρεκτικός. Εὐχῆς δικαίας ἐκ ἀνήκοος ὁ θεός.

Ὅστις πλέτῳ ἐρᾷ καὶ χρυσῷ κεκέληται [5], καὶ πορφύρᾳ καὶ δυναστείᾳ μετρεῖ τὸ εὐδαῖμον, ἄγευστος μὲν ἐλευθερίας, ἀπείραστος δὲ παῤῥησίας, ἀθέατος δὲ ἀληθείας, κολακείᾳ τὰ πάντα καὶ δελείᾳ σύντροφος.

Ὁ Σιμωνίδης πρὸς Ἱέρωνα· τῦ χαλεπωτάτε ἀκροάματος, λοιδορίας, ἀνήκοοί ἐστε· ἐδεὶς γὰρ ἐθέλει τυράννε κατ' ὀφθαλμὲς κατηγορεῖν.

Καθάπερ ὁ Σωκράτης παρῄνει [6] φυλάττεσθαι τῶν βρωμάτων ὅσα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας· ἕτω χρὴ καὶ ἡμᾶς τῶν θεαμάτων καὶ ἀκεσμάτων φυλάττεσθαι καὶ φεύγειν ὅσα κρατεῖ καὶ προσάγεται τὲς μηδὲν δεομένες.

---

1 ἀπαιτέω. 2 καταμανθάνω. 3 ἐνεργάζομαι. 4 καθίστημι. 5 κέλομαι. 6 παραινέω.

Τῶν Φαύλων ἕκαςος ὅσῳ μᾶλλον ἀρνεῖται, τοσέτῳ μᾶλλον ἐνδύεται καὶ καθείργνυσιν ἑαυτὸν εἰς τὴν κακίαν· ἀμέλει τῶν πενομένων οἱ προσποιέμενοι πλετεῖν, ἔτι μᾶλλον πένονται διὰ τὴν ἀλαζονείαν.

Οὐκἒν κρεῖττόν ἐςιν αὐτόθεν τοῖς τοιέτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρκέσει.

Οὐκ ἐξαπατήσω σὲ προοιμίοις ἡδονῆς, ἀλλ', ᾗπερ οἱ θεοὶ διέθεσαν [1], τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν ἐδὲν ἄνευ πόνε καὶ ἐπιμελείας θεοὶ διδόασιν [2] ἀνθρώποις.

Ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ ἔδωκαν, δευτέρες δὲ αὐτἒ ἔταττον πάντας. Ποιἒντες δὲ θυσίαν, ἐπὶ ξενίᾳ ἐκάλεν τὸν Ἀπόλλωνα καὶ Ὅμηρον.

Οἷα ἐψηΦίσαντο Ἀθηναῖοι, καὶ ταῦτα ἐν δημοκρατίᾳ; Αἰγινητῶν μὲν ἑκάςε τὸν μέγαν ἀποκόψαι τῆς χειρὸς δάκτυλον τῆς δεξιᾶς, ἵνα δόρυ μὲν βαςάζειν μὴ δύνωνται, κώπην δὲ ἐλαύνειν δύνωνται.

Καταμάθοις δ' ἄν, ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιεργὸν ἡ ἐπιμέλεια καὶ πόνος ἐςίν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας· ςαγόνες μὲν γὰρ ὕδατος πέτρας κοιλαίνεσιν· σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαΦαῖς τῶν χειρῶν ἐκτρίβονται.

Ἡρακλῆς αὐτἒ κύριος ὤν, τέτες προῄρητο τῶν ἀγόνων, ἐξ ὧν ἔμελλεν, ἢ τῶν Ἑλλήνων, ἢ τῆς ἑαυτἒ πατρίδος εὐεργέτης νομισθήσεσθαι. [3]

Ὁ Θησεὺς καὶ Ἡρακλῆς ἀδελΦὰς τὰς ἐπιθυμίας ἔσχον [4], μόνοι γὰρ ἒτοι τῶν προγεγενημένων ὑπὲρ τἒ βίε τῶν ἀνθρώπων ἀθληταὶ κατέςησαν. [5]

Ὁ Σωκράτης ἐκέλευε, τῶν ἐσοπτριζομένων νεανίσκων τὲς μὲν αἰσχρὲς ἐπανορθἒσθαι τῇ ἀρετῇ, τὲς δὲ καλὲς μὴ καταισχύνειν τῇ κακίᾳ τὸ εἶδος.

Οἱ εὐΦρονἒντες τῶν ἀνθρώπων ταῖς πράξεσιν ἀνακρίνονται. Αἱ Φιλότιμοι τῶν Φύσεων καὶ τῷ ἐπαίνῳ

---

1 διατίθημι. 2 δίδωμι. 3 νομίζω. 4 ἔχω. 5 καθίςημι.

παροξύνονται· πεινῶσι γὰρ τȣ̃ ἐπαίνȣ ȣ̓χ ἧττον ἔνιαι τῶν φύσεων, ἢ ἄλλαι τῶν σίτων τε καὶ ποτῶν.

Βρωμάτων καὶ πομάτων τὰ χρήσιμα μᾶλλον, ἢ τὰ ἡδέα, γιγνώσκειν προσήκει. Ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

Οἱ κράτιϛοι τῶν ἀνθρώπων βραχυλογώτατοι.

Οὐχ ὁρᾷς τȣ̀ς νοσȣ̃ντας, ὅτι τῶν βρωμάτων τὰ καθαριώτατα καὶ πολυτελέϛατα δυσχεραίνȣσι καὶ παραιτȣ̃νται;

Ἡ φύσις τὰς χεῖρας εἰς πολλȣ̀ς καὶ ἀνίσȣς δακτύλȣς σχίσασα πάντων ὀργάνων ἐμμελέϛατα καὶ τεχνικώτατα παρέσχεν, ὥϛε Ἀναξαγόραν τὸν παλαιὸν ἐν ταῖς χερσὶ τὴν αἰτίαν τίθεσθαι τῆς ἀνθρωπίνης σοφίας καὶ συνέσεως.

Δεῖ καὶ τῶν ποιητῶν τὰ βέλτιϛα μανθάνειν, καὶ τῶν ἄλλων σοφιϛῶν, εἴ τι χρήσιμον εἰρήκασιν, ἀναγινώσκειν.

Ἡσυχίαν ἄγειν, καὶ ϛέργειν τοῖς παρȣ̃σι, χαλεπώτατον πάντων πλείϛοις τῶν ἀνθρώπων.

Οἱ Λακεδαιμόνιοι ἄριϛα τῶν Ἑλλήνων ἐπολιτεύοντο.

Τῷ ὄντι οἱ ὀρθῶς φιλοσοφȣ̃ντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι [1], ἥκιϛ' αὐτοῖς ἀνθρώπων φοβερόν.

Τῶν φιληδόνων τινὰ βȣλόμενον Μάρκῳ Κάτωνι συνεῖναι παραιτȣ́μενος ἔφη μὴ δύνασθαι ζῆν μετ' ἀνθρώπȣ τῆς καρδίας τὴν ὑπερῴαν εὐαισθητοτέραν ἔχοντος.

Γυναῖκες ἀνδρῶν φιλοπευθέϛεραί εἰσι, καὶ οἱ βάρβαροι τῶν Ἑλλήνων, καὶ οἱ χείρȣς [2] ἄνδρες τῶν ἀμεινόνων.

Ὁ Λεύκολλος ȣ̓κ ἠξίωσε τȣ̃ ἀδελφȣ̃ πρότερος τὴν ἀρχὴν λαβεῖν [3] πρεσβύτερος ὢν, ἀλλὰ τὸν αὐτȣ̃ παρεὶς [4] καιρὸν, τὸν ἐκείνȣ περιέμεινεν.

---

1 θνήσκω. 2 χείρων. 3 λαμβάνω. 4 παρίημι.

Οἱ ἀθληταὶ ἐχ ὅταν ἰδιωτῶν γένωνται κρείττονες, τἔτο αὐτὲς εὐφραίνει, ἀλλ' ὅταν τῶν ἀνταγωνιςῶν ἥττες [1], τἔτ' αὐτὲς ἀνιᾷ.

Κάτων ὁ πρεσβύτερος τὸν τὲς παραλίες ἀγρὲς πεπρακότα [2] προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης, ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει, ἔτος ῥᾳδίως καταπέπωκε. [3]

Παιδευτέον πρὸς λιμὸν καὶ πρὸς δίψος καὶ πρὸς ῥίγος καρτερεῖν· Οὐ δέ ἐςι διδάσκαλος τέτων ἐδεὶς κρείττων τῆς ἀνάγκης.

Ζημίαν αἱρἔ μᾶλλον ἢ κέρδος αἴσχρόν. Δελεύειν πάθεσι χαλεπώτερον ἢ τυράννοις. Τὸ μὲν ἀψίνθιον ὁ καιρὸς ὑπὲρ τὸ μέλι γλυκύτερον ποιεῖ.

Αἱρετώτερον ὄνομα καλὸν ἢ πλἔτος πολὺς, ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή.

Ὁ χρημάτων παντελῶς ἥσσων ἐκ ἄν ποτε εἴη δίκαιος.

Ἥρμοςο ὁ Σωκράτης πρὸς πάντα ἐπιεικῶς, καὶ ἦν ἵλεως ἀεὶ τὴν διάνοιαν, καὶ λύπης ὑπεράνω πάσης, καὶ φόβε κρείττων παντὸς ἦν.

Τὸ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις, ἥττων ἔσα τῆς τιμῆς, προσεποίησε Καίσαρι (Αὐγέςῳ) νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνε δύναμιν.

Ὦ ἄνδρες, εἰ, πολέμε ἡμῖν γενομένε, βελοίμεθα ἑλέσθαι [4] ἄνδρα, ὑφ' ἕ μάλιςα ἂν αὐτοὶ μὲν σωζοίμεθα, τὲς δὲ πολεμίες χειροίμεθα, ἆρ', ὄντιν' ἂν αἰσθανοίμεθα ἥττω γαςρὸς ἢ οἴνε ἢ πόνε ἢ ὕπνε, τἔτον αἱροίμεθα;

Θεότης ςεῤῥοτέρα τῆς ὄψεως. Ὁ μὲν νἕς τῶν πραγμάτων ἐλάττων· ὁ δὲ λόγος [5] τῶν νοεμένων πάλιν καταδεέςερος.

Ἀριςοτέλη θαυμάζων ὁ Ἀλέξανδρος καὶ ἀγαπῶν ἐχ ἧττον τἔ πατρὸς, ὡς διὰ τἔτον μὲν ζῶν, δι' ἐκεῖνον δὲ καλῶς ζῶν.

---

1 ἥττων. 2 πιπράσκω. 3 καταπίνω. 4 αἱρέω. 5 Sprache, Zunge.

Τίς ἐςι παρὰ παίδων γονεῦσιν ἢ πρᾶξις ἢ χάρις ἢ διάθεσις μᾶλλον εὐφραίνειν δυναμένη, τῆς πρὸς ἀδελφὸν εὐνοίας βεβαίȣ καὶ φιλίας;

Θαυμάζω δ' εἴ τις οἴεται τȣ̀ς τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἀσκȣ̃ντας ἔλαττον ἕξειν τῶν ἄλλων.

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τȣ̃ γὰρ κακῶς ζῆν τὸ τεθνᾶναι κρεῖσσον. Δικαιότερον εὖ ποιεῖν τȣ̀ς οἰκείȣς τῶν ὀθνείων. Δημοσθένης πλέον ἔλαιον οἴνȣ ἐδαπάνησε. Ταῖς τῶν μάλιςα τῷ φρονεῖν διαφερόντων ἁπλαῖς φάσεσι προσέχειν δεῖ, ȣ̓χ ἧττον τῶν ἀποδείξεων.

Καθάπερ οἱ γύπες ἐπὶ τὰς ὀσμὰς τῶν διεφθορότων [1] σωμάτων φέρονται, τῶν δὲ καθαρῶν καὶ ὑγιαινόντων αἴσθησιν ȣ̓κ ἔχȣσιν, ȣ̆τω τὰ νοσȣ̃ντα τȣ̃ βίȣ καὶ φαῦλα καὶ πεπονθότα [2] κινεῖ τὸν ἐχθρὸν, καὶ πρὸς ταῦτα οἱ μισȣ̃ντες ἄττȣσι, καὶ τȣ́των ἅπτονται καὶ σπαράττȣσι.

Λυσίμαχος εἰς τοσȣ̃τον ὑπεροψίας ἔφθασε [3] καὶ θρασύτητος, ὥς εἰπεῖν· Νῦν Βυζάντιοι πρὸς ἐμὲ ἥκȣσιν, ὅτε τῇ λόγχῃ τȣ̃ ȣ̓ρανȣ̃ ἅπτομαι.

Ἀγησίλαος, πρεσβύτης γενόμενος, τῇ αὐτῇ ἀγωγῇ ἐχρῆτο. [4] Πρὸς τὸν πυθόμενον [5] διότι σφοδρȣ̃ χειμῶνος ὄντος, ἀχίτων περιέρχεται εἰς τȣ̃το τῆς ἡλικίας ἥκων. Ἵνα, ἔφη, οἱ νέοι μιμῶνται παράδειγμα ἔχοντες τȣ̀ς πρεσβυτάτȣς καὶ ἄρχοντας.

Ἀντίγονόν γε μὴν φασὶ τὸν δεύτερον, ἐπεί τινες τὸν υἱὸν αὐτῷ ἐκ τῆς παρατάξεως ἐκόμισαν, εἶδε μὲν αὐτόν. Οὐδὲν δὲ τρέψας τȣ̃ χρωτὸς, ȣ̓δὲ μὴν ἐπιδακρύσας, ἐπαινέσας δὲ ὡς ἀγαθὸν ςρατιώτην, θάπτειν προσέταξεν. [6]

Τὸν Ὦχον οἱ Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Ὄνον ἐκάλȣν, τὸ νωθὲς αὐτȣ̃ τῆς γνώμης ἐκ τῆς ἀσθενείας τȣ̃ ζώȣ διαβάλλοντες. Ἀνθ' ὧν ἐκεῖνος τὸν Ἄπιν πρὸς βίαν κατέθυσεν Ὄνῳ.

---

1 διαφθείρω. 2 πάσχω. 3 φθάνω. 4 χράομαι. 5 πυνθάνομαι. 6 προστάττω.

Μέλιττος Σωκράτην ὅτως ὀξέως ἀτεχνῶς καὶ ῥᾳδίως κατεῖδεν, ὥϛε ἀσεβείας ἐγράψατο.

Σωκράτης δὲ διὰ τὸ μεγαλύνειν ἑαυτὸν ἐν τῷ δικαϛηρίῳ, φθόνον ἐπαγόμενος, μᾶλλον καταψηφίσασθαι ἑαυτῷ ἐποίησε τὰς δικαϛάς.

Μετὰ τὴν Ἀντιπάτρȣ τελευτὴν δημοκρατίας γενομένης, κατεγνώσθη θάνατος τȣ̃ Φωκίωνος ἐν ἐκκλησίᾳ καὶ τῶν φίλων.

Δικάζȣσιν οἱ Πέρσαι καὶ ἐγκλήματος, ȣ̃ ἕνεκα ἄνθρωποι μισȣ̃σι μὲν ἀλλήλȣς μάλιϛα, δικάζονται δὲ ἥκιϛα, ἀχαριϛίας.

Μὴ καταγνῶς[1] τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνην εὑρήκαμεν[2], αἷς αὐτῶν τὰς ψυχὰς ἡμερȣ̃μεν, καὶ πλείονος ἀξίας ποιȣ̃μεν· ἡμᾶς δ' αὐτȣ̀ς ȣ̓δὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν.

Πάντων ἡγȣ̃μαι πονηροτάτȣς εἶναι, καὶ μεγίϛης ζημίας ἀξίȣς, οἵτινες οἷς αὐτοὶ τυγχάνȣσιν ὄντες ἔνοχοι, ταῦτα τῶν ἄλλων τολμῶσι κατηγορεῖν.

Ὅρκον ἐπακτὸν προσδέχȣ διὰ δύω προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ τȣ̀ς φίλȣς ἐκ κινδύνων διασώζων.

Νόμος ἐϛὶ τοῖς Σπαρτιάταις, τὸν παρασχόμενον[3] υἱȣ̀ς τρεῖς, ἀτέλειαν ἔχειν φρȣρᾶς· τὸν δὲ πέντε, πασῶν τῶν λειτȣργιῶν ἀφεῖσθαι.[4]

Ὁρᾷν ἐϛι τȣ̀ς κόλακας ἕδρας τε τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας, ȣ̓χ ὅτι τȣ́των ἀξιȣ̃σιν αὐτȣ̀ς, ἀλλ' ὅπως, ὑπεξανιϛάμενοι τοῖς πλȣσίοις, κολακεύωσι.

Ὁμοίως αἰσχρὸν νόμιζε, τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις.

Ἐν Χαιρωνείᾳ τȣ̀ς Ἀθηναίȣς νίκῃ ἐνίκησε Φίλιππος· ἐπαρθεὶς[5] δὲ τῇ εὐπραγίᾳ ὅμως λογισμȣ̃ ἐκράτησε, καὶ ȣ̓χ ὕβριζε.

---

1 καταγινώσκω. 2 εὑρίσκω. 3 παρέχω. 4 ἀφίημι.
5 ἐπαίρω.

Τὸ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφῶν· τὸ δὲ ὀργῆς κατακρατεῖν, ἀνδρὸς ὃ τῦ τυχόντος ἐϛίν.

Ἀλλὰ μὴν καὶ πίϛεως ὅϛις ἐλάχιϛον μετέχει, πῶς ἐχὶ μεγάλϐ ἀγαθῦ μειονεκτεῖ; ποία μὲν γὰρ ξυνϐσία ἡδεῖα ἄνευ πίϛεως τῆς πρὸς ἀλλήλϐς;

Ἦν μὲν ἐν θέρει ὦσιν ὁ ἄρχων καὶ οἱ ἀρχόμενοι, τὸν ἄρχοντα δεῖ τῦ ἡλίϐ πλεονεκτῦντα φανερὸν εἶναι· ἢν δὲ ἐν χειμῶνι, τῦ ψύχϐς· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων.

Πῶς δ' ἂν ἀντιβλέψαι τις ἡμῶν δύναιτο τῷ εὐεργέτῃ, εἰ ἡττώμεθα αὐτῦ εὖ ποιῦντος.

Θυσίας θύων ὁ Σωκράτης μικρὰς ἀπὸ μικρῶν, ἐδὲν ἡγεῖτο μειῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων.

Κρατιϛεύειν τὸν Κῦρον ἑώρων περὶ ἅπαντα ἑαυτῶν· ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον οἱ ἥλικες αὐτῷ.

Τῷ Δημοσθένει συνέβη ἐν τοῖς ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τῦ βήματος ἀγωνιζομένων πολιτῶν.

Τίς οἶδεν, εἰ ὁ θεὸς πατρικῶς προειδὼς, καὶ κηδόμενος τῦ ἀνθρωπείϐ γένϐς, προορώμενος τὰ μέλλοντα συμβήσεσθαι [1] προεξάγει τινὰς ἐκ τῦ ζῆν ἀώρϐς;

Ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρϐς γε εἰκὸς εἶναι τὸς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοπῦντας, οἷς γὰρ μάλιϛα τὰ παρόντα ἀρκεῖ, ἥκιϛα τῶν ἀλλοτρίων ὀρέγονται.

Οὐκ οἶσθ', ὅτι ὁ μὲν ἥδιϛα ἐσθίων, ἥκιϛα ὄψϐ δεῖται, ὁ δὲ ἥδιϛα πίνων, ἥκιϛα τῦ μὴ παρόντος ἐπιθυμεῖ ποτῦ;

Εἴ τις τῶν ἀρετῆς ἐφιεμένων ὠφελιμωτέρῳ τινὶ Σωκράτϐς συνεγένετο, ἐκεῖνον ἐγὼ τὸν ἄνδρα ἀξιομακαριϛότατον νομίζω.

Λυκῦργος ἐπειδὴ κατέμαθεν, ὅτι οἱ μὴ βϐλόμενοι ἐπιμελεῖσθαι τῆς ἀρετῆς, ἐχ ἱκανοί εἰσι τὰς πατρί-

---

1 συμβαίνω.

δως αὔξειν, ἐκεῖνος ἐν τῇ Σπάρτῃ ἠνάγκασε δημοσίᾳ πάντας πάσας ἀσκεῖν τὰς ἀρετάς.

Ἐγὼ μὲν οἶμαι — ὥσπερ καὶ ἄλλοι τινὲς, διὰ τὸ πολὺ ὑπερενεγκεῖν [1] καὶ κρατιςεῦσαι, καταῤῥαθυμήσαντες ὑςερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας [2] ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι.

Τῶν χρημάτων ἐςὶν ἰδεῖν τοὺς μὲν οὕτω φείδεσθαι, ὡς ἀεὶ ζησομένους, τοὺς δὲ οὕτω ἀναλίσκειν, ὡς αὐτίκα τεθνηξομένους. [3]

Τῶν βελτίςων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος [4] εἰς ταύτην τὴν τάξιν.

Διογένης προσέταξε τῷ παλαιςροφύλακι, ἐπειδὰν αἴσθηται [5] ἀποπεπνευκότα αὐτὸν, ῥίψαι εἰς τὸν Ἰλισσόν. Οὕτως ἄρα ὀλίγον ἔμελε Διογένει καὶ θανάτου καὶ ταφῆς.

Πολλοῖς τῶν ξυνόντων προηγόρευεν ὁ Σωκράτης τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. Καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.

Πολλάκις τοῖς ἀνθρώποις τῶν πεπραγμένων μεταμέλει.

Ἐπάκουσον τῶν λόγων Κύον, ἔφη ὁ Πλάτων πρὸς τὸν Διογένη, ὀλίγον αὐτῷ προσέχοντα. Καὶ ὃς οὐδὲν διαταραχθεὶς, ἀλλ' ἐγὼ, εἶπεν, οὐκ ἐπανῆλθον [6] ἐκεῖθεν, ὅθεν ἐπράθην [7], ὥσπερ οἱ κύνες· αἰνιττόμενος αὐτοῦ τὴν εἰς Σικελίαν ὁδόν.

Ἐπεὶ ὁ Σωκράτης ἥψατό [8] τινος τῶν συνήθων σφοδρότερον ἐπὶ ταῖς τραπέζαις διαλεγόμενος· Οὐκ ἄμεινον ἦν, ὁ Πλάτων ἔφη, ἰδίᾳ ταῦτα λελέχθαι [9]; καὶ ὁ Σωκράτης· Σὺ δ', εἶπεν, οὐκ ἄμεινον ἂν ἐποίησας ἰδίᾳ πρὸς ἐμὲ τοῦτο εἰπών;

Τὸν

---

1 ὑπερφέρω. 2 διαφέρω. 3 θνήσκω. 4 τάττω. 5 αἰσθάνομαι. 6 ἐπανέρχομαι. 7 πιπράσκω. 8 ἅπτομαι. 9 λέγω.

Τὸν ἄρχοντα τριῶν δεῖ μεμνῆσθαι, πρῶτον μὲν ὅτι ἀνθρώπων ἄρχει, δεύτερον ὅτι κατὰ νόμους ἄρχει, τρίτον ὅτι οὐκ ἀεὶ ἄρχει.

Ὅταν τῶν νουθετικῶν λόγων ἐπιλάθηταί[1] τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ· τούτων δὲ ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι.

Οὔτε σίτοις οὔτε ποτοῖς κρατίστοις πιστεύων τύραννος διάγει, ἀλλὰ καὶ τούτων τοὺς διακόνους πρῶτον κελεύουσιν ἀπογεύεσθαι, διὰ τὸ ἀπιστεῖν μὴ καὶ ἐν τούτοις κακόν τι φάγωσιν ἢ πίωσιν.[2]

Πεινήσας τῶν ἡδίστων σίτων τεύξεται[3], καὶ διψήσας τῶν ἡδίστων ποτῶν ἀπολαύσεται, καὶ δεηθεὶς ἀναπαύσεως, ἥδιστον ἀναπαύσεται.

Πότε οὖν ἡ ψυχὴ τῆς ἀληθείας ἅπτεται; ὅταν μὲν γὰρ μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι τότε ἐξαπατᾶται ὑπ' αὐτοῦ.

Ἀντίγονος Ἀριστοδήμου τῶν φίλων τινὸς ἐκ μαγείρου γεγονέναι δοκοῦντος, συμβουλεύοντος δὲ αὐτῷ τῶν ἀναλωμάτων καὶ τῶν δωρεῶν ἀφαιρεῖν, Οἱ λόγοι σου, εἶπεν, ὦ Ἀριστόδημε περιζώματος ὄζουσιν.

Ἡμεῖς διὰ παντὸς τοῦ βίου γέμομεν ἐλπίδων ματαίων. Ἐρώτων καὶ ἐπιθυμιῶν, καὶ φόβων, καὶ εἰδώλων παντοδαπῶν, καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς τὸ σῶμα.

Τῶν σίτων ὁ μὲν ἔχων παντοδαπὰ ἀεὶ, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει· ὁ δὲ σπανίσας τινὸς, οὗτός ἐστιν ὁ μετά χαρᾶς πιμπλάμενος, ὅταν αὐτῷ προφανῇ τι.

Ἐνέπλησεν[4] ὁ Ἀγησίλαος καὶ φρονήματος τὰς ψυχὰς τῶν στρατιωτῶν, ὡς ἱκανοὶ εἶεν, πρὸς οὕστινας δέοι, μάχεσθαι. — ἐλπίδων γε μὴν πάντας ἐνέπλησεν, ὡς πᾶσι πολλὰ κἀγαθὰ ἔσοιτο εἰ ἄνδρες ἀγαθοὶ γίγνοιντο.

---

1 ἐπιλανθάνομαι. 2 πίνω. 3 τυγχάνω. 4 ἐμπλήθω.

Ἡ τȣ̃ φίλȣ νȣθεσία καθαρεύȣσα παντὸς ἰδίȣ πάθȣς, αἰδεςόν ἐςι καὶ σεμνὸν καὶ ἀναντίβλεπτον.

Οὔτε οἰκία πολυτελὴς, ȣ̓́τε χρυσίȣ πλῆθος, ȣ̓́τε ἀξίωμα γένȣς, ȣ̓́τε μέγεθος ἀρχῆς, ȣ̓ λόγȣ χάρις, ȣ̓ δεινότης εὐδίαν παρέχει βίῳ καὶ γαλήνην τοσαύτην, ὅσην ψυχὴ καθαρεύȣσα πραγμάτων καὶ βȣλευμάτων πονηρῶν.

Ὦ Σιμωνίδη, καλῶς μοι δοκεῖς λέγειν — ὡς φιλίαν κτησάμενος ἄρχων ȣ̓δὲν ἔτι δεήσεται δορυφόρων.

Τῶν βαρβάρων τȣ̀ς μὲν εἰς βόθρȣς τινὰς καταδύντας ἱςορȣ̃σιν ἐπὶ πλείȣς ἡμέρας μένειν, μηδὲ τὸ τȣ̃ ἡλίȣ φῶς ὁρᾶν βȣλομένȣς, ἐπειδὴ καὶ ὁ τετελευτηκὼς ἀπεςέρηται τȣ́τȣ.

Οὐδὲν ἀνδρείας χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι.

Τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων ȣ̓δὲν δεήσει πολλῶν γραμμάτων· ἀλλ᾽ ἀπ᾽ ὀλίγων συνθημάτων ῥαδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν ὁμονοήσȣσιν.

Δεῖ μάλιςα παῤῥησιαζομένων τῶν φίλων τοῖς εὐτυχȣ̃σι, καὶ τὸ ἄγαν ὑφιέντων [1] τȣ̃ φρονήματος.

Ἄγαμαι κἀκεῖνο τȣ̃ Ἀγησιλάȣ, ὅτι ȣ̓χ ὁπότερος πλείω τε χρήματα ἔχει καὶ πλειόνων ἄρχει, τȣ́τῳ ἡγήσατο μεῖζον φρονητέον [2] εἶναι, ἀλλ᾽ ὁπότερος αὐτός τε ἀμείνων εἴη καὶ ἀμεινόνων ἡγοῖτο.

Καὶ γὰρ ȣ̓χ ȣ̃̓τως ἐπὶ τῷ ἄλλων βασιλεύειν, ὡς ἐπὶ τῷ ἑαυτȣ̃ ἄρχειν ἐμεγαλύνετο.

Ἡ φιλία συνάπτει τȣ̀ς καλȣ̀ς τε κἀγαθȣ̀ς· διὰ γὰρ τὴν ἀρετὴν αἱρȣ̃νται μὲν ἄνευ πόνȣ τὰ μέτρια κεκτῆσθαι [3] μᾶλλον, ἢ διὰ πολέμȣ πάντων κυριεύειν.

Ὦ Γλαύκων, ἔφη ὁ Σωκράτης, προςατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; Ἔγωγ᾽, ἔφη, ὦ Σώκρατες. Νὴ Δί᾽, ἔφη· καλὸν γὰρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις.

---

1 ὑφίημι. 2 φρονέω. 3 κτάομαι.

Καμβύσης ἐξ ἐνυπνίȣ φοβηθεὶς ὡς βασιλεύσοντα τῆς Ἀσίας τὸν ἀδελφὸν, ȣ̓δεμίαν ἀπόδειξιν, ȣ̓δ᾽ ἔλεγχον ἀναμείνας ἀπέκτεινεν.

Ἀρχὴ αὕτη παιδεύσεως· Ἔργȣ παντὸς ἤν τις ἄρχηται καλῶς, καὶ τὰς τελευτὰς εἰκὸς ἔσθ᾽ ȣ̔́τως ἔχειν, κατὰ τὸν Σοφοκλέα.

Ὁ βασιλεὺς τῶν Περσῶν ȣ̔̀ς ἂν εὕρῃ τῶν ἀρχόντων ἢ καταμελȣ̃ντας τῶν φρȣράρχων ἢ κατακερδαίνοντας, τȣ́τȣς χαλεπῶς κολάζει, καὶ παύων τῆς ἀρχῆς, ἄλλȣς ἐπιμελητὰς καθίστησι.

Ὥσπερ ἰδιῶται τῶν ἰδιωτῶν διαφέρȣσιν ἀρετῇ, οἱ ἀσκȣ̃ντες τῶν ἀμελȣ́ντων, ȣ̔́τω καὶ ἡ Σπάρτη εἰκότως πασῶν τῶν πόλεων ἀρετῇ διαφέρει, μόνη δημοσίᾳ ἐπιτηδεύȣσα τὴν καλοκἀγαθίαν.

Τὸ τῆς γλώττης κρατεῖν — εἴ τις μικρὸν καὶ φαῦλον ὑπείληφε [1], πλεῖςον διαμαρτάνει τȣ̃ δέοντος· Σοφὸν γὰρ εὔκαιρος σιγὴ, καὶ παντὸς λόγȣ κρεῖττον.

Ὁ ἐπιβȣλεύων τῷ Γαδάτᾳ παίει αὐτὸν, καὶ καιρίας μὲν πληγῆς ἁμαρτάνει, τύπτει δὲ αὐτὸν εἰς τὸν ὦμον καὶ τιτρώσκει.

Ὁ Ἀντισθένης Διογένην ἤλαυνεν ἀπὸ τῆς συνȣσίας αὐτȣ̃· ὁ δὲ ȣ̓κ ἀπηλλάττετο, ἀλλ᾽ ἔτι μᾶλλον ἐνέκειτο [2] φιλοπόνως, ἀκȣ́ειν αὐτȣ̃ διψῶν, καὶ ἔλεγε· Σὺ μὲν παῖε, εἰ βȣ́λει, ἐγὼ δὲ ὑποθήσω [3] τὴν κεφαλὴν, καὶ ȣ̓κ ἂν ȣ̔́τως ἐξεύροις [4] βακτηρίαν σκληρὰν, ὥςε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν. Ὁ δὲ ὑπερησπάσατο αὐτόν.

Πᾶσα ἐπιςήμη χωριζομένη εὐσεβείας καὶ τῆς ἄλλης ἀρετῆς, πανȣργία, ἀλλ᾽ ȣ̓ σοφία φαίνεται.

Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασιῶν, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Τȣ́τȣ δ᾽ ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων, ἔτι πονεῖν δυνάμενος.

---

1 ὑπολαμβάνω. 2 ἔγκειμαι. 3 ὑποτίθημι. 4 ἐξευρίσκω.

῾Απάντων τῶν πονηρῶν ἀνθρώπων ἀπάγειν δεῖ τὰς παῖδας, μάλιςα δὲ τῶν κολάκων.

Πλάτων μεθύȣσι συνεβȣ́λευσε [1] κατοπτρίζεσθαι· ἀποςήσεσθαι [2] γὰρ τοιαύτης ἀσχημοσύνης.

Δεῖ τὰς πατέρας ἐναργὲς ἑαυτὰς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τȣ́των βίον, ὥσπερ κάτοπτρον ἀποβλέποντες, ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων.

Μάθε [3] δέ μȣ, ὦ παῖ, καὶ τάδε, τὰ μέγιςα· παρὰ ἱερὰ μήτ' ἐν σαυτῷ μηδέποτε, μήτ' ἐν τῇ ςρατιᾷ, κινδυνεύσῃς.

῾Η Πλάτωνος δόξα καὶ εἰς ᾿Αρκάδας ἀφίκετο [4] καὶ Θηβαίȣς. Καὶ ȣ̃ν ἐδεήθησαν [5] αὐτȣ̃, πρέσβεις ἀποςείλαντες, νομοθέτην αὐτὸν ἐκάλȣν, ἀπείπατο δὲ τὴν πρὸς αὐτὰς ἐπιδημίαν.

Τὰς παῖδας καὶ ὑποδεῖσθαι καὶ περιβάλλεσθαι διδάσκομεν, καὶ τῇ δεξιᾷ λαμβάνειν τȣ̃ ὄψȣ, τῇ δὲ ἀριςερᾷ κρατεῖν τὸν ἄρτον· — τὰ δὲ μέγιςα καὶ κυριώτατα πρὸς εὐδαιμονίαν, ȣ̓ παρακαλεῖ τὴν φρόνησιν, ȣ̓δὲ μετέχει τȣ̃ κατὰ λόγον καὶ πρόνοιαν;

Οἱ μὲν ἔχȣσιν ἐπιεικεῖς δόξας καὶ ςοχάζεσθαι τȣ̃ δέοντος δυναμένας, οἱ δ' ὡς οἷόν τε πλεῖςον τȣ̃ συμφέροντος διαμαρτάνοντας.

Καθάπερ οἱ τὰ ἱμάτια μαςιγȣ̃ντες ȣ̓χ ἅπτονται τȣ̃ σώματος, ȣ̆τως οἱ δυστυχίας τινὸς, ἢ δυσγενείας, ὀνειδίζοντες, εἰς τὰ ἐκτὸς ἐντείνονται κενῶς καὶ ἀνοήτως, τῆς ψυχῆς δ' ȣ̓ θιγγάνȣσιν, ȣ̓δὲ τῶν ἀληθῶς ἐπανορθώσεως δεομένων καὶ δήξεως.

Κινδυνεύȣσιν, ὅσοι τυγχάνȣσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, λεληθέναι [6] τὰς ἄλλȣς, ὅτι ȣ̓δὲν ἄλλο αὐτοὶ ἐπιτηδεύȣσιν, ἢ ἀποθνήσκειν τε καὶ τεθνᾶναι.

Οὐκ ὠνȣ̃μαι μυρίων δραχμῶν μεταμέλειαν. — Ψωμȣ̃ ἄρτων παράσιτος ἐλευθερίαν πωλεῖ.

---

1 συμβȣλεύω. 2 ἀφίςημι. 3 μανθάνω. 4 ἀφικνέομαι. 5 δέομαι. 6 λανθάνω.

Διογένης τὰ πολλȣ̃ ἄξια τȣ̃ μηδενὸς ἔλεγε πιπράσκεσθαι, καὶ ἔμπαλιν. Ἀνδριάντα γȣ̃ν τρισχιλίων πιπράσκεσθαι· χοίνικα δὲ ἀλφίτων, δύω χαλκῶν.

Εἰ ἐπώλει τὰς χάριτας ὁ Ἀγησίλαος, ἢ μισθȣ̃ εὐηργέτει, ȣ̓δεὶς ἂν ȣ̓δὲν ὀφείλειν αὐτῷ ἐνόμισεν.

Ὡς πάντα τιμῆς ἐςι, πλὴν κακȣ̃ τρόπȣ. — Μὴ ζήτει, ὦ πονηρὲ σὺ, τὰ μαλακὰ, μὴ τὰ σκληρὰ ἔχῃς — τῶν γὰρ πόνων πωλȣ̃σιν ἡμῖν πάντα τἀγαθ' οἱ θεοί. — Πιςὸς ἀνὴρ χρυσȣ̃ τε καὶ ἀργύρȣ ἀντερύσασθαι ἄξιος.

Ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν τῷ Σωκράτει φυγῆς τιμήσασθαι, εἰ ἐβȣ́λετο· ἀλλ' ᾕρετο [1], πρὸ τῆς φυγῆς θάνατον.

Ἐπεὶ Ἀλέξανδρον τὸν Φεραίων τύραννον πολέμιον ὄντα Θηβαίων, Ἀθηναῖοι φίλον ἐποιήσαντο καὶ σύμμαχον, ὑποσχόμενον [2] αὐτοῖς ἡμιοβολίȣ τὴν μνᾶν κρεῶν [3] ὤνιον παρέξειν. Ἡμεῖς δὲ, ἔφη ὁ Ἐπαμινώνδας, ξύλα προῖκα παρέξομεν Ἀθηναίοις ἐπὶ τὰ κρέα ταῦτα· τὴν δὲ χώραν αὐτῶν τεμȣ̃μεν [4], ἂν πολυπραγμονῶσι.

Τὰς δωρὰς ὑμεῖς βασιλεῖς πολὺ πλείονος ἀγοράζετε (ἔφη ὁ Ἰσοκράτης) παρὰ τῶν διδόντων, ἢ τῶν πωλȣ́ντων.

Τȣ̀ς ἀγαθȣ̀ς ἄνδρας θαυμάζȣσι μὲν τῆς μεγαλοφροσύνης πάντες καὶ ἄγανται, μιμεῖσθαι δ' ἐπὶ τῶν ἔργων ȣ̓ δύνανται, διὰ τὴν ἐκ τῆς ἀπαιδευσίας ἀσθένειαν τῆς ψυχῆς.

Τῶν πραγμάτων διδόντων, ἀναληπτέον ἑαυτȣ̀ς, μήτε ὕπνȣ φθονȣ̃ντας τῷ σώματι, μήτ' ἀρίςȣ, μήτε ῥᾳςώνης, τὸν μέσον ἡδυπαθείας καὶ κακοπαθείας φυλαττȣ́σης ὅρον.

Τὸν δὲ καὶ πταίσαντι ἐχθρῷ συμπαθήσαντα, καὶ δεηθέντι συλλαβόμενον, καὶ παισὶν ἐχθρȣ̃ σπȣδήν τινα καὶ προθυμίαν ἐνδειξάμενον, ὅςις ȣ̓κ ἀγαπᾷ τῆς εὐμε-

---

1 αἱρέομαι. 2 ὑπέχω. 3 κρέας. 4 τέμνω.

νείας, ὃδ' ἐπαινεῖ τὴν χρηςότητα, κεῖνος ἐξ ἀδάμαντος, ἢ σιδάρȣ, κεχάλκευται μέλαιναν καρδίαν.

Τίς ȣ̓κ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν, καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπομένȣσιν, ὑπὲρ τȣ̃ μὴ τὸ αἰσχρὸν ποιῆσαι;

Οἱ Ῥωμαῖοι ἐθαύμαζόν τε τῆς εὐτολμίας τȣ̀ς Ἰȣδαίȣς, καὶ τȣ̃ πάθȣς ἠλέȣν.[1]

Εἰ μὲν ἄγασαι τȣ̃ πατρὸς, ἢ ὅσα βεβȣ́λευται, ἢ ὅσα πέπραχε, πάνυ σοι συμβȣλεύω τȣ̃τον μιμεῖσθαι.

Φαίδων· Καὶ μὴν ἔγωγε θαυμάσια ἔπαθον[2] παραγενόμενος.[3] Οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείȣ ἔλεος εἰσῄει·[4] εὐδαίμων γάρ μοι ὁ ἀνὴρ ἐφαίνετο, καὶ τȣ̃ τρόπȣ, καὶ τῶν λόγων.

Ἐξέπεσε[5] τῆς Κύρȣ διαδοχῆς ἡ ἀρχὴ, τελευτήσαντος αὐτȣ̃, καὶ τὸ Δαρείȣ γένος ἐβασίλευσεν, ἀνδρὸς ȣ̓ μόνον ἀδελφοῖς, ἀλλὰ καὶ φίλοις ἐπιςαμένȣ κοινωνεῖν πραγμάτων καὶ δυνάμεως.

Ἐνθυμȣ̃ ὅτι τὸ μὲν σῶμα θνητὸν ἅπαντες ἔχομεν· κατὰ δὲ τὴν εὐδοξίαν καὶ τȣ̀ς ἐπαίνȣς, καὶ τὴν φήμην τὴν τῷ χρόνῳ συμπαρακολȣθȣ̃σαν, ἀθανασίας μεταλαμβάνομεν.

Καθεύδοντι τῷ Πλάτωνι ἑσμὸς μελισσῶν Ὑμηττίȣ μέλιτος ἐν τοῖς χείλεσιν αὐτȣ̃ καθίσασαι, ὑπῇδον, τὴν τȣ̃ Πλάτωνος εὐγλωττίαν μαντευόμεναι ἐντεῦθεν.

Ἀλέξανδρος πολὺν χρόνον ἄταφος ἔμενε, ȣ̓ρανȣ̃ μετασχεῖν βȣλόμενος, καὶ τȣ̃το σπεύδων - ȣ̓δὲ τῶν κοινῶν δήπȣ, καὶ ἴσων πᾶσιν ἀνθρώποις, μετασχεῖν εἶχε, γῆς τε ἅμα καὶ ταφῆς.

Κυρία γενομένη ἡ πόλις τῶν Ἀθηναίων πολλῶν ἀγαθῶν, ȣ̓κ ἐφθόνησε τοῖς ἄλλοις, ἀλλ' ὧν ἔλαβεν,[6] ἅπασι μετέδωκε.[7]

Ἀνδρὸς ἑνὸς εὖ φρονȣ̃ντος ἅπαντες ἀπολαύȣσιν· Ἑνὸς μοχθηρȣ̃ πᾶσα ἡ πόλις ἀπολαύει. Φιλο-

---

1 ἐλεέω. 2 πάσχω. 3 zu Sokrates im Gefängnisse. 4 εἴσειμι. 5 ἐκπίπτω. 6 λαμβάνω. 7 μεταδίδωμι.

μαθȢς ἑνὸς μειρακίȢ μέγα τι πάντες οἱ συμμαθητεύοντες ἀπολαύȢσιν.

Ἐμοὶ μὲν Ȣν ὁ Σωκράτης δοκεῖ θεοφιλȢς μοίρας τετυχηκέναι.[1] ΤȢ μὲν γὰρ βίȢ τὸ χαλεπώτατον ἀπέλιπε, τῶν δὲ θανάτων τȢ ῥᾴϛȢ ἔτυχεν.

Οὐκ ᾤετο[2] ὁ Κῦρος προσήκειν Ȣ̓δενὶ ἀρχῆς, ὅϛις μὴ βελτίων εἴη τῶν ἀρχομένων.

Περικλῆς Ἀθηναίοις νόμον ἔγραψεν, ἐὰν μὴ τύχῃ τις ἐξ ἀμφοῖν ὑπάρχων ἀϛῶν, τȢ́τῳ μὴ μετεῖναι τῆς πολιτείας. Utroque parente cive natus.

Τὰ μαθήματα ἀποτρέπει γε τȢ̀ς νέȢς πολλῶν ἁμαρτημάτων.

Ἐπεὶ Σικελίας ἀποτυχὼν[3] ὁ Πύῤῥος ἐξέπλει[4], μεταϛραφεὶς ὀπίσω πρὸς τȢ̀ς φίλȢς, οἵαν, ἔφη, Ῥωμαίοις καὶ Καρχηδονίοις ἀπολείπομεν παλαίϛραν.

Ἡ μίμησις, ἄν τε περὶ φαῦλον, ἄν τε περὶ χρηϛὸν ἐφίκηται[5] τῆς ὁμοιότητος, ἐπαινεῖται.

Ἀνάξαρχος, ὁ ἐπικληθεὶς Εὐδαιμονικὸς, κατεγέλα ἈλεξάνδρȢ, ἑαυτὸν ἐκθεȢ̃ντος. Ἐπεὶ δὲ ἐνόσησέ ποτε Ἀλέξανδρος, εἶτα προσέταξεν αὐτῷ ὁ ἰατρὸς ῥόφημα σκευασθῆναι[6], γελάσας ὁ Ἀνάξαρχος, τȢ μέν τοι ΘεȢ ἡμῶν εἶπεν ἐν τρυβλίȢ ῥοφήματι αἱ ἐλπίδες κεῖνται.

Τιμησίας ὁ Κλαζομένιος καλῶς ἐξηγήσατο τῶν Κλαζομενίων· ἦν γὰρ τῶν ἀγαθῶν ἀνδρῶν. Ὅς γε μὴν εἴωθε κατισχύειν τῶν τοιȢ́των φθόνος, καὶ τȢ ΤιμησίȢ κατεκράτει.

Ἄνδρα εὐεργετεῖν ἱκανὸν οἱ ἄνθρωποι θεῶνται[7] ὡς οἰκεῖον ἕκαϛος ἀγαθὸν, ἑκόντες τε παραχωρȢ̃σι τȢ́τῳ ὁδῶν, καὶ θάκων ὑπανίϛανται φιλȢ̃ντές τε καὶ μὴ φοβȢ́μενοι.

Ἡγεῖτο ὁ Ἀγησίλαος ἄρχοντι προσήκειν, Ȣ̓ μαλακίᾳ, ἀλλὰ καρτερίᾳ τῶν ἰδιωτῶν περιεῖναι.

---

1 τυγχάνω. 2 οἶμαι. 3 ἀποτυγχάνω. 4 ἐκπλέω. 5 ἐφικνέομαι. 6 σκευάζω. 7 θεάομαι.

Τῷ μὲν δὴ μεγέθει δώρων ὑπερβάλλειν τὸν Κῦρον, πλȣσιώτερον ὄντα, ȣ̓ θαυμαςόν· τῇ δὲ θεραπείᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγίγνεσθαι, τȣ̃το ἀξιολογώτερον.

Ἀεὶ προτίμα τȣ̀ς καλȣ̀ς τῶν μὴ καλῶν. — Τίς ȣ̓κ οἶδεν, ὅτι καὶ ἐκ μικρῶν ὁ σπȣδαῖος δοκιμάζεται, ὑπερφρονῶν αὐτῶν. — Πατέρες ἀγαθοὶ προνοȣ̃σι τῶν παίδων, ὅπως μήποτε αὐτȣ̀ς τἀγαθὰ ἐπιλείψει.

Ξενοφῶν πρὸς τȣ̀ς ςρατηγȣ̀ς· ἐπεὶ πόλεμός ἐςιν, ἀξιȣ̃ν δεῖ, ὑμᾶς αὐτȣ̀ς ἀμείνȣς τε τȣ̃ πλήθȣς εἶναι, καὶ προβȣλεύειν τȣ́των καὶ προνοεῖν, ἤν πȣ δέῃ.

Ὁ ποταμὸς Εὐφράτης πλάτος ἔχει πλεῖον ἢ ἐπὶ δύο ςάδια, καὶ βάθος γε ὡς ȣ̓δ᾽ ἂν δύο ἄνδρες, ὁ ἕτερος ἐπὶ τȣ̃ ἑτέρȣ ἑςηκὼς[1], τȣ̃ ὕδατος ὑπερέχοιεν.

Ἅπαντες ἐπιςάμεθα, ὅτι Ἀγησίλαος, ὅπȣ ᾤετο τὴν πατρίδα ὠφελήσειν, ȣ̓ πόνων ὑφίετο, ȣ̓ κινδύνων ἀφίςατο, ȣ̓ χρημάτων ἐφείδετο, ȣ̓ σῶμα, ȣ̓ γῆρας πρȣ̓φασίζετο.[2]

Χρὴ προσέχειν τὸν νȣ̃ν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσȣ̃τον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις.[3]

Πειρατέον εἰς τὸν τῶν τέκνων σωφρονισμὸν πάνθ᾽ ὅσα προσῆκεν ἐπιτηδεύειν, ζηλώσαντας τὴν Εὐριδίκην, ἥτις Ἰλλυρὶς ȣ̃σα καὶ τριβάρβαρος, ὅμως ἐπὶ τῇ μαθήσει τῶν τέκνων ὀψὲ τῆς ἡλικίας ἥψατο παιδείας.

Πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει ἐν τῷ δεσμωτηρίῳ ὁ μεταξὺ τῆς δίκης τε, καί τȣ̃ θανάτȣ.

Ὑπὸ τῶν δικαςῶν κατεγνώσθη θάνατος τȣ̃ Σωκράτȣς, ἔτως ἤδη τότε πόῤῥω τῆς ἡλικίας ἦν, ὥς᾽, εἰ καὶ μὴ τότε, ȣ̓κ ἂν πολλῷ ὕςερον τελευτῆσαι τὸν βίον.

Δύναμις ἀνάγκης ἔγγυθι ναίει. — Ἔξω ὀργῆς πᾶς ἀνὴρ σοφώτερος. — Πόῤῥω ἡδονῆς καὶ λύπης ἵδρυται τὸ θεῖον, ὡς Πλάτων ἔλεγε.

---

1 ἵςημι. 2 προφασίζομαι. 3 διαφέρω.

Ἐγὼ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου.

Διογένης ἐρωτηθεὶς ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, Ἄνδρας μὲν εἶπεν οὐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαίμονι.

Τῆς ἀρετῆς ἱδρῶτα Θεὸς προπάροιθεν ἔθηκεν Ἀθάνατος. Μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν, καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηαι [1], ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

Τὸ τὸν βίον ἀτρύφητον ἀσκεῖν, τὸ τὴν γλῶτταν κατέχειν, τὸ τῆς ὀργῆς ὑπεράνω γίγνεσθαι, τὸ τῶν χειρῶν κρατεῖν· τούτων ἕκαστον ἡλίκον ἐστὶ σκεπτέον.

Λάκωνες γράμματα ἕνεκα τῆς χρείας ἐμάνθανον· τῶν δὲ ἄλλων παιδευμάτων ξενηλασίαν ἐποιοῦντο, οὐ μᾶλλον ἀνθρώπων ἢ λόγων.

Φίλιππον τὸν Ἀλεξάνδρου πατέρα Θεόφραστος ἱστόρηκεν οὐ μόνον μεταξὺ τῶν βασιλέων τῇ τύχῃ, ἀλλὰ καὶ τῷ τρόπῳ μείζονα γενέσθαι καὶ μετριώτερον.

Οἱ παῖδες τῶν Λακεδαιμονίων πιόντες μετρίως ἀπίασι [2] δίχα λαμπάδος· οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν.

Διετέλουν οἱ Λάκωνες καὶ ἄνευ χιτῶνος, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες, καὶ αὐχμηροὶ τὰ σώματα, καὶ λουτρῶν καὶ ἀλειμμάτων κατὰ τὸ πλεῖστον ἀπεχόμενοι.

Ὅτε εἷλε τὴν Θηβαίων πόλιν Ἀλέξανδρος, ἀπέδοτο τοὺς ἐλευθέρους πάντας, πλὴν ἱερέων.

Νοσοῦντι οὐκ ἀνεκτὸν, ἀλλὰ μείζων νόσος, ἀκούειν, ὅτι ταῦτά σοι γέγονεν ἐξ ἀκρασίας —— Ὦ τῆς ἀκαιρίας, ἄνθρωπε, (φήσει) διαθήκην γράφω —— σὺ δὲ νουθετεῖς καὶ φιλοσοφεῖς;

Ὦ τῆς ἀνθρωπίνης ταλαιπωρίας, ὅτι πολλοὶ πολλάκις πολεμίων κρατοῦντες καὶ ἄλλων τινῶν, ἡδοναῖς ἐδούλευσαν.

---

1 ἱκνέομαι. 2 ἄπειμι.

Λέγεται Δημήτριος ὁ Φαληρεὺς, ὅτε τῆς πατρίδος ἐξέπεσεν [1] — ἐντυχόντος πρᾴως αὐτῷ τȣ̃ Κράτητος, θαῤῥεῖν ἐφ' ἑαυτῷ παρακαλȣ̃ντος, ἡδίων γενόμενος καὶ ἀναθαρσήσας πρὸς τȣ̀ς φίλȣς εἶπε· Φεῦ τῶν πράξεων ἐκείνων καὶ ἀσχολιῶν, δι' ἃς ἄνδρα τοιȣ̃τον ȣ̓κ ἔγνωμεν. [2]

Αἶ, αἶ, τῶν κενῶν ἐλπίδων, αἶ τεχνῶν κενῶν. Βαβαὶ τῆς λαμπρᾶς μεταβολῆς. Οἴμοι τῶν κτημάτων. Φεῦ τῆς ἀλαζονείας, ὦ τῆς ἀναισχυντίας, ὦ τῆς ἀνθρωπίνης ταλαιπωρίας.

Fünfter Abschnitt.

Von dem Dativ.

Ἕπεται τῇ ἀρετῇ σώζεσθαι εἰς τὸν πλείω χρόνον μᾶλλον, ἢ τῇ κακίᾳ· καὶ γὰρ ῥᾴων, καὶ ἡδίων, καὶ εὐπορωτέρα, καὶ ἰσχυροτέρα. Δῆλον δὲ, ὅτι καὶ εὔκλεια μάλιςα ἕπεται τῇ ἀρετῇ· καὶ γὰρ συμμαχεῖν πως πάντες τοῖς ἀγαθοῖς βȣ́λονται.

Τοῖς γράφȣσιν, ὡς Ἀλέξανδρος ἔφη ποτὲ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἀκολȣθεῖν αὐτῷ τῆς ςρατείας ἐφόδιον, πιςεύομεν, Ὅμηρον σεμνύνοντες.

Ἐφεδρεύει σȣ τοῖς πράγμασιν ἐγρηγορὼς ὁ ἐχθρὸς ἀεὶ, καὶ λαβὴν ζητῶν πανταχόθεν περιοδεύει τὸν βίον.

Ἀδελφὸς πολεμῶν ἀδελφῷ, καὶ κτώμενος ὀθνεῖον ἐξ ἀγορᾶς ἢ παλαίςρας ἑταῖρον, ȣ̓δὲν ἔοικεν ἄλλο ποιεῖν ἢ σάρκινον καὶ συμφυὲς ἑκȣσίως ἀποκόψας μέρος, ἀλλότριον προστίθεσθαι καὶ προσαρμόττειν.

Οἵ τε πενέςεροι τῶν πολιτῶν (Ἀθηναίων) τοσȣ̃τον ἀπεῖχον τȣ̃ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥς' ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων, ὥσπερ τῶν σφετέρων αὐτῶν· ἡγȣ́μενοι τὴν ἐκείνων εὐδαιμονίαν αὐτοῖς εὐπορίαν ὑπάρχειν.

---

1 ἐκπίπτω. 2 γινώσκω.

Ἀνὴρ χῖος ὀργιζόμενος τῷ οἰκέτῃ, ἐγώ σε, ἔφη, οὐκ εἰς μύλην ἐμβαλῶ, ἀλλ' εἰς Ὀλυμπίαν ἄξω. Πολλῷ γὰρ ᾤετο [1] πικροτέραν, ὡς τὸ εἰκὸς, εἶναι τιμωρίαν ἐκεῖνος, ἐν Ὀλυμπίᾳ θεώμενον ὑπὸ τῆς ἀκτῖνος ὀπτᾶσθαι, ἢ ἀλεῖν μύλῃ παραδοθέντα. [2]

Ἀρχίδαμος θεασάμενος τὸν υἱὸν προπετῶς μαχόμενον Ἀθηναίοις, ἢ τῇ δυνάμει πρόσθες [3], ἔφη, ἢ τοῦ φρονήματος ὕφες. [4]

Ἐπαμινώνδας καὶ Ἀγησίλαος πλείστοις ὁμιλήσαντες ἀνθρώποις καὶ πόλεσι καὶ βίοις, τὸ προσῆκον ἦθος αὑτοῖς πανταχοῦ, καὶ στολῇ καὶ διαίτῃ, καὶ λόγῳ καὶ βίῳ διεφύλαττον.

Κακοῖς μὴ προσομίλει ἀνδράσιν, ἀλλ' ἀεὶ τῶν ἀγαθῶν ἔχου· ταῦτα μαθὼν, ἀγαθοῖς ὁμίλει, καί ποτε φήσεις, εὖ συμβουλεύειν τοῖς φίλοις ἐμέ.

Πλάτων παρῄνει [5] τοῖς νέοις· ἐκεῖνος μὲν γὰρ λέγειν ἐκ τῆς διατριβῆς ἀπαλλαττομένοις εἰώθει· Ἄγε, ὅπως εἰς καλόν τι καταθήσεσθε [6] τὴν σχολὴν, ὦ παῖδες.

Πλάτων ὑπὸ πενίας (φασὶ) καταπονούμενος ἔμελλεν ἐπὶ στρατείαν ἀποδημῆσαι. Καταληφθεὶς [7] δὲ ὑπὸ Σωκράτους ὠνούμενος ὅπλα ὁ Πλάτων, ἀνεστάλη [8] τὴν ὁρμὴν, διαλεχθέντος [9] αὐτῷ τοῦ Σωκράτους, ἃ εἰκὸς ἦν, καὶ πείσαντος [10] φιλοσοφίας ἐπιθυμεῖν.

Πιστοὺς ἡγοῦ, μὴ τοὺς πᾶν, ὅ, τι ἂν ποιῇς καὶ λέγῃς, ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

Θυμουμένοις μὲν φίλοις εἴκειν δεῖ, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττειν.

Εἰ, ὕδωρ παρ' ἐμοῦ αἰτοῦντί σοι αὐτὸς μὴ ἔχων, ἄλλοσε καὶ ἐπὶ τοῦτο ἤγαγον, οἶδ' ὅτι οὐκ ἄν τοῦτό μοι ἐμέμφου· καὶ εἰ, βουλομένου μουσικὴν μαθεῖν σου παρ' ἐμοῦ, δείξαιμί σοι πολὺ δεινοτέρους ἐμοῦ περὶ μουσικὴν, καὶ σοι χάριν

---

1 οἶμαι. 2 παραδίδωμι. 3 προστίθημι. 4 ὑφίημι. 5 παραινέω. 6 κατατίθημι. 7 καταλαμβάνω. 8 ἀναστέλλω. 9 διαλέγομαι. 10 πείθω.

εἰδότας, εἰ ἐθέλοις παρ' αὐτῶν μανθάνειν, τί ἂν ἔτι μοι ταῦτα ποιȣ̃ντι μέμφοιο;

Οἱ ἄνθρωποι ȣ̓ ςέργȣσιν, οἷς ἔχȣσιν, ἀλλ' ἀεὶ τȣ̃ πλείονος ὀρέγονται. Δεῖ συνετὸν ὄντα ἀρέσκεσθαι καὶ ἀγαπᾶν τοῖς παρȣ̃σι, καὶ μηδὲν ἀφόρητον οἴεσθαι.

Οἱ πολλοὶ χαίρȣσι τοῖς Φιλοσόφοις περὶ ἄλλων διαλεγομένοις, καὶ θαυμάζȣσιν· ἐὰν δὲ τȣ̀ς ἄλλȣς ἐάσας ὁ Φιλόσοφος, αὐτοῖς ἐκείνοις ἰδίᾳ παῤῥησιάζηται περὶ τῶν διαφερόντων, καὶ ὑπομιμνήσῃ, δυσχεραίνȣσι καὶ περίεργον νομίζȣσιν.

Ὅςις ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι, τȣ̃τον καὶ δαπανῶντα ἰσχυρῶς ἀνιᾶσθαι.

Ὁ Ἀντίγονος, βασιλεὺς, ὁρῶν τὸν υἱὸν τοῖς ὑπηκόοις χρώμενον βιαιότερόν τε, καὶ θρασύτερον, ȣ̓κ οἶσθα, εἶπεν, ὦ παῖ, τὴν βασιλείαν ἡμῶν ἔνδοξον εἶναι δȣλείαν;

Αἰσχρὸν παρόντι μὲν καιρῷ μὴ χρῆσθαι, παρελθόντος δὲ αὐτȣ̃ μεμνῆσθαι.

Οὐδεὶς ἔρια καὶ σκύτη κτησάμενος, κάθηται τῇ τύχῃ προσευχόμενος ἱμάτιον αὐτῷ καὶ ὑποδήματα γενέσθαι.

Πρῶτος ἀναγορευθεὶς Σεβαςὸς, ἄρξας τέσσαρα καὶ πεντήκοντα ἔτη ἐκπέμπων τὸν θυγατριδȣ̃ν ἐπὶ ςρατείαν ηὔξατο τοῖς θεοῖς, ἀνδρίαν μὲν αὐτῷ δȣ̃ναι τὴν Σκιπίωνος, εὔνοιαν δὲ τὴν Πομπηΐȣ, τύχην δὲ τὴν αὐτȣ̃.

Ἔςιν ȣ̓δὲν ȣ̓́τως εὔχρηςον, ȣ̓́τε καλὸν ἀνθρώποις, ὡς ἡ τάξις· τὸ ἀεὶ ὅμοιον, ταχὺ γίνεται ἀνθρώπῳ προσκορές.

Τοῖς ἀγαθοῖς ὁμοίως ἐςὶν αἰσχρὸν, τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν.

Τȣ̀ς πονηρȣ̀ς ȣ̓χ ὁρῶ Φίλȣς ἀλλήλοις δυναμένȣς εἶναι. — Οἱ πονηροὶ πάντως ἔμοιγε δοκȣ̃σιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ Φίλοι πεφυκέναι.

Οἱ μὲν εἰδότες ἑαυτȣ̀ς τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκȣσιν ἅ τε δύνανται καὶ ἃ μή.

Πῶς; δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι; Τί δέ; τὸ ἄλλῳ ὠφέλιμον ȣ̓ δοκεῖ σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι;

Πάντας ἡγȣ̃μαι εἶναι πονηροτάτȣς, οἵτινες οἷς αὐτοὶ τυγχάνȣσιν ὄντες ἔνοχοι, ταῦτα τῶν ἄλλων τολμῶσι κατηγορεῖν.

Ξενοφῶν πρὸς Αἰσχίνην. Συντυχών μοι Ἑρμογένης τά τε ἄλλα διεξῄει, καὶ περὶ σȣ̃ δὲ πυθομένȣ[1] ἥντινα ἔχοις Φιλοσοφίας ἐπιμέλειαν, ἀπεκρίνατο, τὴν αὐτὴν Σωκράτει.

Ἱκανῶς ὁ Μένανδρος ὑπομιμνήσκει, ὡς καὶ τȣ̀ς πλȣσίȣς ἑώρα ταυτὰ πάσχοντας τοῖς πένησιν· Ἆρ' ἐςὶ, Φησὶ, συγγενές τι λύπῃ καὶ βίος;

Πάνυ γάρ μοι δοκεῖ ἀθυμία ἐγγίγνεσθαι τοῖς ἀγαθοῖς, ὅταν ὁρῶσι τὰ μὲν ἔργα δι' αὐτῶν καταπρασσόμενα, τῶν δὲ ὁμοίων τυγχάνοντας ἑαυτοῖς τȣ̀ς μήτε πονεῖν μήτε κινδυνεύειν ἐθέλοντας ὅταν δέῃ.

Οἱ τῶν ἰδίων, ἵνα πολλὴν μὲν ἔχωσιν ȣ̓σίαν, Φροντίζοντες, ἵνα δὲ καλοὶ κἀγαθοὶ γένωνται ἀμελȣ̃ντες, ἴσον πεπόνθασι[2] τοῖς ἱπποτροφȣ̃σι, καὶ τὰ μὲν πολεμικὰ ȣ̓ διδάσκȣσι, τροφὴν δὲ παμπόλλην παρεχομένοις.

Μὴ κατασιωπᾶτε ἐάν τινας ὁρᾶτε πονηρȣ̀ς ὄντας· ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε, τῆς αὐτῆς εἶναι ζημίας ἀξίȣς, τȣ̀ς συγκρύπτοντας τοῖς ἐξαμαρτάνȣσιν.

Δίωνα, ὅτε λαμπρότατος ἦν, καὶ πάντας εἰς ἑαυτὸν ἀνθρώπȣς ἐπέςρεφε, διὰ τὸ κάλλος τῶν πράξεων καὶ τὸ μέγεθος, Πλάτων παρακελεύεται Φυλάττεσθαι, καὶ δεδιέναι[3] τὴν αὐθάδειαν, ὡς ἐρημίᾳ ξύνοικον.

Χρὴ ȣ̓ μόνον ἑαυτὸν θνητὸν εἰδέναι ὄντα τὴν Φύσιν, ἀλλὰ καὶ ὅτι θνητῷ συγκληρός ἐςι βίῳ, καὶ πράγμασι ῥᾳδίως μεθιςαμένοις πρὸς τȣ̓ναντίον.

Φαίνεται ὁ Ἀλκιβιάδης τῷ δήμῳ βοηθῶν, τῆς αὐτῆς πολιτείας τοῖς Ἀθηναίοις ἐπιθυμῶν, ὑπὸ τῶν αὐτῶν κακῶς πάσχων, ἅμα τῇ πόλει δυστυχῶν, τȣ̀ς αὐτȣ̀ς ἐχθρȣ̀ς καὶ Φίλȣς αὐτοῖς νομίζων.

---

1 πυνθάνομαι. 2 πάσχω. 3 δείδω.

Ὥσπερ οἱ θρῖπες ἐμφύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις, οὕτω τὰ φιλότιμα τῶν ἠθῶν καὶ χρηστὰ καὶ ἐπιεικῆ τὸν κόλακα δέχεται καὶ τρέφει προσφυόμενον.

Οὐ δύνασαί μοι καὶ φίλῳ χρῆσθαι καὶ κόλακι· τουτέστι καὶ φίλῳ καὶ μὴ φίλῳ· συνεργεῖν γὰρ δεῖ τῷ φίλῳ, μὴ συμπανουργεῖν· καὶ συνατυχεῖν νὴ Δία, μὴ συναδικεῖν.

Ἐκκαθαίρειν προσήκει τὴν μισαδελφίαν· ἔστι δὲ καὶ πρὸς πολίτας διάβολος καὶ κατήγορος· οἴονται γὰρ τοὺς ἀδελφοὺς οὐκ ἂν ἐχθροὺς καὶ πολεμίους γενέσθαι, μὴ πολλὰ καὶ πονηρὰ συνειδότας ἀλλήλοις.

Ἐπισκοτεῖ τῷ μὲν ἡλίῳ πολλάκις τὰ νέφη, τῷ δὲ λογισμῷ τὰ πάθη.

Ἐκέλευεν ὁ Σωκράτης καὶ λογισμοὺς μανθάνειν· καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν· μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεπεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι.

Τοῖς μὲν νοσοῦσιν ἰατροὺς, τοῖς δὲ ἀτυχοῦσι φίλους δεῖ συμπαρεῖναι.

Τοὺς ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας.

Οὐδεὶς ἐτόλμα ῥᾳδίως προσελθεῖν τῷ Ἀλεξάνδρῳ· πολὺ γὰρ ἦν τὸ ἐξ αὐτοῦ δέος, ἀρθέντος [1] ὑπὸ φρονήματος καὶ τύχης εἰς τυραννίδα.

Ὁ Κικέρων φύσει φιλότιμος ὢν ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, οὐκ ἠρέμα τῷ πρωτείῳ προσῆγεν, ἀλλ' εὐθὺς ἐξέλαμψε [2] τῇ δόξῃ, καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς.

Πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις συναποθνήσκειν τοῖς σώμασιν· αἱ δὲ ἐπιστῆμαι παραμένειν ἅπαντα τὸν χρόνον ὠφελοῦσαι τοὺς χρωμένους αὐταῖς.

---

1 αἴρω. 2 ἐκλάμπω.

Ὁμοίως χαλεπόν ἐςιν, ἐπαινεῖν τὲς ὑπερβεβηκότας [1] τὰς τῶν ἄλλων ἀρετὰς, ὥσπερ τὲς μηδὲν ἀγαθὸν πεποιηκότας. Τοῖς μὲν γὰρ ἐχ ὕπεισι πράξεις, πρὸς δὲ τὲς ἐκ εἰσὶν ἁρμόττοντες λόγοι.

Συγχαίρειν χρὴ τοῖς φίλοις καλῶς πράττεσιν, ὡς καὶ συναλγεῖν λυπεμένοις.

Ὅσα τῷ Μάρκῳ πέπρακται, πολλοῖς καὶ σοφοῖς ἀνδράσι συγγέγραπται.

Πολλοῖς καὶ σοφοῖς ἀνδράσιν, ἐ νῦν ἀλλὰ πάλαι, κέκλαυςαι [2] τἀνθρώπινα, τιμωρίαν ἡγεμένοις εἶναι τὸν βίον, καὶ ἀρχὴν τὸ γενέσθαι ἄνθρωπον συμφορὰν τὴν μεγίςην.

Ὡς γε μὴν φιλόπολις ἦν ὁ Ἀγησίλαος, καθ᾽ ἓν μὲν ἕκαςον μακρὸν ἂν εἴη γράφειν· οἴομαι γὰρ ἐδὲν εἶναι τῶν πεπραγμένων αὐτῷ, ὅ τι ἐκ εἰς τῦτο συντείνει.

Ἀνδρίας γε μὴν ἐκ ἀφανῆ τεκμήριά μοι δοκεῖ παρασχέσθαι ὁ Ἀγησίλαος, ὑφιςάμενος μὲν ἀεὶ πολεμεῖν πρὸς τὲς ἰσχυροτάτες τῶν ἐχθρῶν τῇ τε πόλει καὶ τῇ Ἑλλάδι, ἐν δὲ τοῖς πρὸς τέτοις ἀγῶσι πρῶτον μὲν ἑαυτὸν τάττων.

Κατενόει ὁ Κῦρος, ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώματα οἱ ςρατιῶται πρὸς τὸ δύνασθαι ςρατιωτικὲς πόνες φέρειν, εὖ δὲ τὰς ψυχὰς πρὸς τὸ καταφρονεῖν τῶν πολεμίων.

Φύσει βασιλικόν τι τὸ κάλλος ἐςὶ, ἄλλως τε ἢν μετ᾽ αἰδῦς κέκτηταί [3] τις αὐτό.

Ὁ καρτερίᾳ μὲν πρωτεύων ἔνθα πονεῖν καιρὸς, ἀλκῇ δὲ ὅπε ἀνδρίας ἀγὼν, γνώμῃ δὲ ὅπε βελῆς ἔργον, ῦτος ἔμοι γε δοκεῖ δικαίως ἀνὴρ ἀγαθὸς παντελῶς ἂν νομίζεσθαι.

Οὐ τῷ μέτρῳ τῶν διδομένων ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης.

Καθόλε σώζεται σῶμα μὲν ἐνδείᾳ καὶ πληρώσει, ψυχὴ δὲ ἀνέσει καὶ πόνῳ.

---

1 ὑπερβαίνω. 2 κλαίω. 3 κτάομαι.

Καὶ τί δεῖ τἆλλα θαυμάζειν, ὅπȣ γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν πολλὰ καὶ τιθασσευόμενα καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις.

Χάριεν τὸ τȣ̃ Διογένȣς πρός τινα νεανίσκον ὀφθέντα [1] ἐν καπηλείῳ, καταφυγόντα δ' εἰς τὸ καπηλεῖον· Ὅσῳ γὰρ (εἶπεν) ἐνδοτέρω φεύγεις, μᾶλλον ἐν τῷ καπηλείῳ γίνῃ. Καὶ τῶν φαύλων ἕκαςος ὅσῳ μᾶλλον ἀρνεῖται, τοσȣ́τῳ μᾶλλον ἐνδύεται καὶ καθείργνυσιν ἑαυτὸν εἰς τὴν κακίαν.

Πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς, ȣ̓κ ἂν πολλῷ κρείττων φανείη;

Προσήκειν ἡγȣ̃μαι τοσȣ́τῳ τȣ̀ς βασιλέας βελτίȣς εἶναι τῶν ἰδιωτῶν, ὅσῳ περ καὶ τὰς τιμὰς μείζȣς αὐτῶν ἔχȣσι.

Μιλτιάδης παραγεγονὼς ἐς Μαραθῶνα τῇ ὑςεραίᾳ τὴν μάχην συνάψας [2], ἧκεν εἰς ἄςυ μετὰ τῆς ςρατιᾶς νενικηκὼς [3], καὶ Περικλῆς ἐννέα μησὶ Σαμίȣς καταςρεψάμενος, ἐφρόνει τȣ̃ Ἀγαμέμνονος μεῖζον ἔτει δεκάτῳ τὴν Τροίαν ἑλόντος. [4]

Αὐτὸς, ὦ Φαίδων, παρεγένȣ Σωκράτει ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ τὸ φάρμακον ἔπιεν ἐν τῷ δεσμωτηρίῳ, ἢ ἄλλȣ τȣ ἤκȣσας; Φαίδων· αὐτὸς, ὦ Ἐχέκρατες.

Πενταπόλεως Τρίπολις ἡμερῶν διέχει ὁδῷ εἴκοσιν εὐζώνῳ ἀνδρί.

Sechster Abschnitt.

Von dem Accusativ.

Οἶμαι καὶ τȣ̀ς θεȣ̀ς εὐεργετεῖν τὰ πολλὰ λανθάνοντας, αὐτῷ τῷ χαρίζεσθαι, καὶ εὖ ποιεῖν φύσιν ἔχοντας ἥδεσθαι.

Δεῖ πρόχειρον ἔχειν τὸ τȣ̃ Φιλίππȣ· λέγεται γὰρ ἐκεῖνος ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τȣ̀ς Ἕλληνας, ὡς εὖ πάσχοντας καὶ κακῶς λέγοντας, εἰπεῖν. Τί ȣ̃ν, ἂν καὶ κακῶς ποιῶμεν αὐτȣ́ς;

Ἀπαν-

---

1 ὄπτομαι. 2 συνάπτω. 3 νικάω. 4 αἱρέω.

Ἅπαντες ἐπιστάμεθα, ὅτι Ἀγησίλαος, ὅπου ᾤετο τὴν πατρίδα ὠφελήσειν, οὐ πόνων ὑφίετο, ἀλλὰ καὶ βασιλέως ἀγαθοῦ τοῦτο ἔργον ἐνόμιζε, τὸ τοὺς ἀρχομένους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν.

Ὀκνεῖς ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ ποιῇς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ ἀδελφοὺς εὐεργετῶν.

Τοὺς πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, — καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἴεσθαι χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτοὺς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων;

Τὸ κακῶς ποιεῖν ἀνθρώπους τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν.

Φωκίων προελθὼν εἰς τοὺς Ἀθηναίους, ἐκκλησίας οὔσης, πάνυ σφόδρα πεπαιδευμένως καὶ πληκτικῶς εἶπε· Βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν κακὸν αὐτὸς, ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι.

Ὅταν τίς σε κακῶς τι ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο, ὅτι καθήκειν αὐτῷ οἰόμενος, ποιεῖ ἢ λέγει.

Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ὑμῖν οὕτω φροντιστέον, ὅ τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ, τι αὐτὴ ἡ ἀλήθεια.

Παρόντος μὲν τοὺς φίλους δεῖ εὖ ποιεῖν, ἀπόντας δὲ εὐλογεῖν. Βασιλικὸν, καλῶς ποιοῦντα κακῶς ἀκούειν.

Ὅσοι μὲν δύνανται ἔχειν ἀπὸ τοῦ δικαίου ὧν δέονται, τί ἂν τούτους οἰκτείροι τις ὡς πένητας; — Οἰκτείρειν ἄξιον ἢ βδελύττεσθαι νὴ Δία τὴν φιλοπλουτίαν.

Δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παραλόγως δυστυχοῦντας. — Οὐδενὶ πώποτ' οὐδ' αἰσχρῶς οὐδ' ἀκλεῶς ἀπέβη, τοὺς ἱκέτας ἐλεήσαντι.

Θρασύλλου τοῦ κυνικοῦ δραχμὴν αἰτήσαντος Ἀντίγονον, Ἀλλ' οὐ βασιλικὸν, εἶπε, τὸ δόμα· τοῦ δὲ εἰπόντος, οὐκοῦν τάλαντον δός μοι, Ἀλλ' οὐ κυνικὸν, ἔφη, τὸ λῆμμα.]

Χρήματα εἰσπράττων τὰς Συρακȣσίȣς, εἶτα ὁρῶν ὀδυρομένȣς καὶ δεομένȣς, καὶ λέγοντας ὡς ἐκ ἔχομεν, ἐκέλευσεν ἕτερα πράττειν· καὶ δὶς καὶ τρὶς τȣ̃το ἐποίησεν. Ἐπεὶ δὲ προστάξας πλείονα, γελᾷν ἤκȣσεν αὐτὰς καὶ σκώπτειν ἐν ἀγορᾷ περιϊόντας [1], ἐκέλευσεν παύσασθαι. Νῦν γὰρ ἐδὲν ἔχȣσιν, εἶπεν, ὅτε καταφρονȣ̃σιν ἡμῶν.

Διδάσκȣσι τὰς παῖδας οἱ Πέρσαι καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτὰς, ὅτι καὶ τὰς πρεσβυτέρȣς ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας.

Εὐπόρησεν ἱκανῶς ὁ Ἰσοκράτης, ὁ μόνον ἀργύριον εἰσπράττων τὰς γνωρίμȣς, ἀλλὰ καὶ τὰ παρὰ τȣ̃ Νικοκλέȣς τȣ̃ Κυπρίων βασιλέως εἴκοσι τάλαντα λαβὼν, ὑπὲρ τȣ̃ πρὸς αὐτὸν γραφέντος λόγȣ· πολίτην δ' ἐδέποτ' εἰσέπραξε μισθόν.

Ἐγὼ ἐδὲ πώποτε ἡγησάμην χαλεπὸν, διδάξαι τὰ βέλτιςα τὰς ἀνθρώπȣς, ἀλλὰ τὸ πράττειν πεῖσαι ταῦτα.

Ὁ Ἀλέξανδρος Μήδȣς τὴν ἀρχὴν τῆς Ἀσίας ἀφείλετο. [2]

Παῖς μέγας, μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας, τὸν μὲν ἑαυτȣ̃ ἐκεῖνον ἠμφίεσε [3], τὸν δὲ ἐκείνȣ αὐτὸς ἐνέδυ.

Τὸ ςράτευμα Κῦρος κατένειμε δώδεκα μέρη.

Τῶν μὲν Στωικῶν ἐδ' ἀκȣ́ειν ἔνιοι ὑπομένȣσι, τὸν σοφὸν ὁμȣ̃ πλȣ́σιον, καλὸν, εὐγενῆ, βασιλέα προςαγορευόντων· οἱ δὲ κόλακες τὸν πλȣ́σιον, ὁμȣ̃ καὶ ῥήτορα καὶ ποιητὴν, ἂν δὲ βȣ́ληται, καὶ ζωγράφον, καὶ αὐλητὴν ἀποφαίνȣσι.

Τὴν εὐβȣλίαν καὶ τὴν φρόνησιν ἐν μὲν ἡδοναῖς ἀγαθὰς ἡμᾶς παρεχομένην, ἐγκράτειαν καὶ σωφροσύνην καλȣ̃μεν, ἐν δὲ κινδύνοις καὶ πόνοις, καρτερίαν καὶ ἀνδραγαθίαν, ἐν δὲ κοινωνήμασι καὶ πολιτείαις, εὐνομίαν καὶ δικαιοσύνην.

---

1 περίειμι. 2 ἀφαιρέω. 3 ἀμφιέννυμι.

Ἀγησίλαος μὲν ἱερὰ καὶ τὰ ἐν τοῖς πολεμίοις ἐσέβετο, ἡγȣ́μενος τȣ̀ς θεȣ̀ς ȣ̓χ ἧττον ἐν τῇ πολεμίᾳ χρῆναι, ἢ ἐν τῇ φιλίᾳ συμμάχȣς ποιεῖσθαι.

Ἱκέτας δὲ θεῶν ȣ̓δὲ ἐχθρȣ̀ς ἐβιάζετο, νομίζων ἄλογον εἶναι, τȣ̀ς μὲν ἐξ ἱερῶν κλέπτοντας ἱεροσύλȣς καλεῖν, τȣ̀ς δὲ βωμῶν ἱκέτας ἀποσπῶντας εὐσεβεῖς ἡγεῖσθαι.

Ἀεὶ δεισιδαίμων ἦν, νομίζων τȣ̀ς μὲν καλῶς ζῶντας, ȣ̎πω εὐδαίμονας, τȣ̀ς δ' εὐκλεῶς τετελευτηκότας ἤδη μακαρίȣς.

Τȣ̀ς παραβάντας ὅρκȣς τῶν βαρβάρων ἐπῄνεσεν, Ἀγησίλαος, ὅτι τȣ̀ς Θεȣ̀ς ἐχθρȣ̀ς αὐτοῖς ποιησάμενοι ταῖς ἐπιορκίαις, αὐτῷ φίλȣς καὶ συμμάχȣς κατεπράξαντο.

Ταυτόν ἐςι τὸ ἕπεσθαι θεῷ καὶ τὸ πείθεσθαι λόγῳ. Οἱ φρονȣ̃ντες θεῖον ἡγεμόνα τȣ̃ βίȣ λαμβάνȣσι τὸν λόγον, ᾧ τȣ̀ς ἑπομένȣς ἄξιόν ἐςι μόνȣς ἐλευθέρȣς νομίζειν.

Βέλτιόν ἐςι σῶμά γ' ἢ ψυχὴν νοσεῖν.

Πλήττομαι τὸν πόδα, ἀλγέω τὴν κεφαλὴν, καὶ ταράσσομαι φρένας.

Νόμισμα τοιȣ̃τον κατεςήσατο [1] ὁ Λυκȣ̃ργος, ὃ, δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν, ȣ̎ποτε δεσπότας, ȣ̎τε οἰκέτας λάθοι· [2] καὶ γὰρ χώρας μεγάλης καὶ ἁμάξης ἀγωγῆς δέοιτ' [3] ἄν.

Εἶπεν ὁ Γωβρύας, Ἀλλ' ἐγὼ, ὦ Κῦρε, πρόσθεν μὲν ἡγȣ́μην, τȣ́τῳ σε πλεῖςον διαφέρειν ἀνθρώπων, τῷ ςρατηγικώτατον εἶναι· νῦν δὲ θεȣ̀ς ὄμνυμι, ἦ μὴν ἐμοὶ δοκεῖν, πλέον σε διαφέρειν φιλανθρωπίᾳ ἢ ςρατηγίᾳ.

Θράσυλλος παράδοξον καὶ καινὴν ἐνόσησε μανίαν. Ἀπολιπὼν γὰρ τὸ ἄςυ καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτȣ̃ ἐνόμιζεν εἶναι.

Λακεδαιμόνιοι Μεσσηνίων κρατήσαντες τȣ̀ς μὲν τῶν ἀνδρῶν ἀπέλιπον γεωργεῖν, ȣ̃ς δὲ ἀπέδοντο, ȣ̃ς δὲ ἀπέκτειναν. Ἀθηναῖοι δὲ ὕβρισαν καὶ ἐκείνην τὴν ὕβριν.

---

1 καθίςημι. 2 λανθάνω. 3 δέομαι.

Εὐτυχίας γὰρ λαβόμενοι [1], τὴν εὐπραγίαν σωφρόνως ἐκ ἤνεγκαν. [2]

Δȣλείαν δὲ ποίαν κακίϛην νομίζεις εἶναι; — Ἐγὼ μὲν τὴν παρὰ τοῖς κακίϛοις δεσπόταις. Τὴν κακίϛην ἄρα δȣλείαν οἱ ἀκρατεῖς δȣλεύȣσιν; — Ἔμοιγε δοκεῖ.

Ἐάν σοι καιρὸς φανῇ ἅψασθαι τȣ̃ ἔργȣ, πρόσεχε, μή σε ἡττήσῃ τὸ προσηνὲς αὐτȣ̃ καὶ ἡδὺ, καὶ ἐπαγωγόν· ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

Ἐϛασίασάν ποτε πρὸς ἀλλήλȣς οἱ Χίοι, ἀνδρειότατα νοσήσαντες νόσον ταύτην βαρυτάτην.

Πανταχȣ̃ ἐν τῇ Ἑλλάδι νόμος κεῖται, τȣ̀ς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχȣ̃ ὀμνύȣσι τὸν ὅρκον τȣ̃τον.

Καλὸς εἶναι πεισθεὶς [3] ὁ αἰσχρὸς, ἢ μέγας ὁ μικρὸς, ȣ̓́τε χρόνον πολὺν τῇ ἀπάτῃ σύνεϛι, καὶ βλάπτεται βλάβην ἐλαφρὰν, καὶ ἐκ ἀνήκεϛον.

Τῶν δοξῶν, ἃς οἱ ἄνθρωποι δοξάζȣσι, δεῖ τὰς μὲν περὶ πολλȣ̃ ποιεῖσθαι, τὰς δὲ μή.

Ὥσπερ ἐπὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτȣργὸν ἐπιϛήμονα, εἶτα δὲ σπέρματα σπȣδαῖα, τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ παραγγέλματα.

Ἆρά γε ȣ̓ χρὴ πάντα ἄνδρα ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα ταύτην πρῶτον ἐν τῇ ψυχῇ κατασκευάσασθαι;

Ἐὰν ἐμμένῃς τῇ φιλοσοφίᾳ, καὶ τοσȣ̃τον ἐπιδιδῷς, ὅσον περ νῦν, ταχέως γενήσῃ τοιȣ̃τος, οἷόν σε προσήκει.

Μοχθεῖν ἀνάγκη τȣ̀ς θέλοντας εὐτυχεῖν.

Δῆλόν ἐϛιν, ὅτι, εἰ ἐξῆν [4] τοῖς κρατίϛοις συνθεμένȣς ἐπὶ τȣ̀ς χεῖρας ἰέναι [5], πάντας ἂν τȣ̀ς ἀγῶνας ȣ̓̃τοι ἐνίκων, καὶ πάντα τὰ ἆθλα ȣ̓̃τοι ἐλάμβανον.

---

1 λαμβάνω. 2 φέρω. 3 πείθω. 4 ἔξεϛι. 5 εἶμι.

Τὰς δόξης ὀρεγομένους πρέπει μιμητὰς εἶναι τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων.

Οἱ Θηβαῖοι τὸ πρῶτον ὠσάμενοι Λακεδαιμονίους ἀηττήτους εἶναι δοκοῦντας, οὐδεμίαν ὕστερον ἡττήθησαν ὑπ᾽ αὐτῶν μάχην.

Ἀλέξανδρος πρῶτον ἐν Ἰλλυριοῖς λίθῳ τὴν κεφαλὴν, ὕπερῳ δὲ τὸν τράχηλον ἠλοήθη·[1] ἔπειτα περὶ Γράνικον τὴν κεφαλὴν βαρβαρικῇ μαχαίρᾳ διεκόπη[2], ἐν δ᾽ Ἰσσῷ ξίφει τὸν μηρόν· πρὸς δὲ Γάζῃ, τὸ μὲν σφυρὸν ἐτοξεύθη· πρὸς δὲ Μαρακανδάνοις τοξεύματι τὸ τῆς κνήμης ὀστέον διεσχίσθη.[3]

Ἤδη πόῤῥω τῆς ἡλικίας ἦν ὁ Σωκράτης, καὶ τὸ μὲν ἀχθεινότατον τοῦ βίου, καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται, ἀπέλειπεν.

Πολλοὺς ἂν ἔχοιμεν εἰπεῖν, ὅσοι τυραννίδος ἐπιθυμήσαντες ἤδη, καὶ σπουδάσαντες τοῦτ᾽ αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πράξοντες, διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον ἀφῃρέθησαν.[4]

Τὸν τῶν Λυκίων νομοθέτην φασὶ προστάξαι τοῖς αὐτοῦ πολίταις ἐπὰν πενθῶσι, γυναικείαν ἠμφιεσμένους[5] ἐσθῆτα πενθεῖν· ἐμφαίνειν βουληθέντα[6], ὅτι γυναικῶδες τὸ πάθος ἐστὶ, καὶ οὐχ ἁρμόττον ἀνδράσι κοσμίοις καὶ παιδείας ἐλευθέρου μεταπεποιημένοις.

Οἱ τὸν ἥλιον θεωροῦντες καὶ σκοπούμενοι διαφθείρονται τὰ ὄμματα.

Τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν;

Οὔτε ἵππος εὐγενὴς κρίνοιτ᾽ ἂν ὁ πολυτελῆ σκευὴν ἔχων, ἀλλ᾽ ὁ τῇ φύσει λαμπρὸς, οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ᾽ ὁ τὴν ψυχὴν γενναῖος.

---

1 ἀλοάω. 2 διακόπτω. 3 διασχίζω. 4 ἀφαιρέω. 5 ἀμφιέννυμι. 6 βούλομαι.

Θεὸς ὅ τι ποτέ ἐςι καὶ τὴν φύσιν, καὶ τὴν ὀσίαν, ὄτε τις εὗρεν ἀνθρώπων, ὄτε μὲν εὑρήσει.

Ὁ Πλάτων τῷ Ξενοκράτει, βαρυτέρῳ τὸ ἦθος ὄντι τἄλλα δὲ καλῷ κἀγαθῷ, παρεκελεύετο θύειν ταῖς Χάρισιν.

Ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ μοχθηροὺς ὄντας τὰς ψυχάς.

Καὶ τὰ ἤθη γενναιοτάτους τοὺς αὐτῇ συνόντας ἡ γεωργία ἔοικε παρέχεσθαι.

Ὅςις διαβολαῖς πείθεται ταχὺ, ἤ τοι πονηρὸς αὐτός ἐςι τοὺς τρόπους, ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Ἦν ὁ Κικέρων τὴν περὶ τὸ σῶμα θεραπείαν ἀκριβὴς καὶ περιττὸς, ὥςε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις [1] χρῆσθαι· τοῦτον τὸν τρόπον τὴν ἕξιν ἄνοσον καὶ διαρκῆ πρὸς πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν. [2]

Βέλτιον ὑπομένειν τὸν νουθετεῖν δοκοῦντα φίλον· ἂν γὰρ ὕςερον αὐτὸς ἁμαρτάνῃ, καὶ δέηται νουθεσίας, αὐτὸ τοῦτο τῇ παῤῥησίᾳ τρόπον τινὰ παῤῥησίαν δίδωσιν.

Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν.

Κρεῖσσον εἰσάπαξ θανεῖν, ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς.

Μειράκιον Ἐρετρικὸν Ζήνωνι προσεφοίτησε πλείονα χρόνον. Ἐπανελθόντα δὲ ἤρετο ὁ πατὴρ, τί ἂν μάθοι σοφόν; ὁ δὲ ἔφη, δείξειν. Χαλεπήναντος δὲ τοῦ πατρὸς, καὶ πληγὰς ἐντείναντος τὴν ἡσυχίαν ἀγαγὼν, καὶ ἐγκαρτερήσας, τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατρός.

Ἐπαμινώνδας ἔφευγε δίκην θανάτου ἐπανελθὼν ἐκ τῆς Λακωνικῆς, ὡς ὑπολαβὼν τὴν βοιωταρχίαν τέσσαρα μῆνας παρὰ τὸν νόμον.

Χρὴ σὲ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις.

---

1 τάττω. 2 συνέχω.

Οὐκ οἶσθα, ὅτι τὰ Φαλάγγια, ἐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα, προσαψάμενα μόνον τῷ σόματι, ταῖς τε ὀδύναις ἐπιτρίβει τὲς ἀνθρώπες, καὶ τε Φρονεῖν ἐξίςησιν; ἐνίησι γάρ τι τὰ Φαλάγγια κατὰ τὸ δῆγμα.

Κύρῳ γεν ἴσμεν ἐθελήσαντας πείθεσθαι, τὲς μὲν ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδὸν, τὲς δὲ καὶ μηνῶν, τὲς δὲ, ἐδ' ἑωρακότας πώποτε αὐτὸν, τὲς δὲ, καὶ εὖ εἰδότας, ὅτι ἐδ' ἂν ἴδοιεν.

Anhang zu den Casibus.

A) Nomina Verbalia.

Τοῖς πάθεσιν ἀκολεθητικὸς ὁ νέος.

Ὑπόπτευον ἀλλήλες εὐθὺς μετὰ τὰς σπονδὰς, οἵ τε Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, κατὰ τὴν τῶν χωρίων ἀλλήλοις ἐκ ἀπόδοσιν.

Ἡγε, μηδενὶ τῶν ἀθλητῶν προσήκειν, ἐπὶ τὲς ἀνταγωνιςὰς ἀσκεῖν, ὥς σοι σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς τε πατρὸς ἐπιτηδεύμασιν.

B) Verbal-Adjektiv, τέος, τέα, τέον.

Νέοις ζηλωτέον [1] τὲς γέροντας. Ὁ ἀγαθὸς μόνος τιμητέος. [2] Ἥ τε σιωπὴ ἀσκητέα [3], καὶ ἡ τάξις διαφυλακτέα. [4]

Φυλακτέον [5] ἐςὶ μάλιςα τὸν κόλακα περὶ τὲς ἐπαίνες. Καὶ μὴν τῶν γε νεθεσιῶν καὶ τῶν ἐπιπλήξεων ἔτ' ἀναλγήτως, ἔτ' ἀνάνδρως ἀκεςέον. [6]

Πᾶσαν κακίαν Φευκτέον [7] ἐςὶ δι' ἀρετῆς, ἐχὶ διὰ τῆς ἐναντίας κακίας, ὥσπερ ἔνιοι δοκεσιν αἰσχυντηλίαν μὲν ἀναισχυντίᾳ Φεύγειν, ἀγροικίαν δὲ βωμολοχίᾳ.

Οὐδ' ἐπαίνε Φειςέον [8], ἐδὲ τιμῆς, περὶ ἀνδρὸς ἐχθρε, δικαίως εὐδοκιμήσαντος· ἔπαινόν τε γὰρ Φέρει μείζονα τοῖς ἐπαινεσι, καὶ πίςιν ἔχει πάλιν ἐγκαλῶν, ὡς ἐ τὸν ἄνδρα μισῶν, ἀλλὰ τὴν πρᾶξιν ἀποδοκιμάζων.

---

1 ζηλόω. 2 τιμάω. 3 ἀσκέω. 4 διαΦυλάττω. 5 Φυλάττω. 6 ἀκέω. 7 Φεύγω. 8 Φείδομαι.

Τὸ σῶμα θόρυβον παρέχει καὶ ταραχήν· εἰ μέλλομέν ποτε καθαρῶς εἴσεσθαι [1], ἀπαλλακτέον [2] αὐτῦ, καὶ αὐτῇ τῇ ψυχῇ θεατέον [3] αὐτὰ τὰ πράγματα.

Πρακτέον [4] μέν γε χρήματα, εἰ μέλλοιμεν ἕξειν δαπανᾷν εἰς τὰ δέοντα· ἀναγκαςέον [5] δὲ φυλάσσειν, ὅσα δεῖται φυλακῆς· κολαςέον [6] δὲ τὺς ἀδίκυς· κωλυτέον [7] δὲ τὺς ὑβρίζειν βυλομένυς.

Τί πλῦτος ἐκεῖ (ἐν τῇ Σπάρτῃ) σπυδαςέος [8], ἔνθα, ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια, ὁμοίως δὲ διαιτᾶσθαι τάξας (ὁ Λυκῦργος) ἐποίησε, μὴ ἡδυπαθείας ἕνεκα χρημάτων ὀρέγεσθαι; Ἀλλὰ μὴν ὐδ' ἱματίων γε ἕνεκα χρηματιςέον· [9] ὐ γὰρ ἐσθῆτος πολυτελείᾳ, ἀλλὰ σώματος εὐεξίᾳ κοσμῦνται.

Ἡ μὲν ἀληθὴς φρόνησις διάγνωσίς ἐςι τῶν τε ποιητέων [10] καὶ ὐ ποιητέων.

Siebenter Abschnitt.

Infinitivus.

Βαρβαρικὸν τὸ ἱκετεύειν καὶ ὑποπίπτειν ἐν τοῖς ἀγῶσιν· Ἑλληνικὸν δὲ τὸ νικᾷν μαχόμενον, ἢ ἀποθνήσκειν.

Οὐ τὸ ζῆν περὶ πλείςυ ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. Ἐν ταῖς ψυχαῖς τὸ εὐδαιμονεῖν καὶ τὸ κακοδαιμονεῖν τοῖς ἀνθρώποις ἀπόκειται.

Τὸ πείθεσθαι μέγιςον ἀγαθόν ἐςι καὶ ἐν πόλει, καὶ ἐν ςρατιᾷ, καὶ ἐν οἴκῳ. Τὸ ὑποτάττεσθαι τοῖς κρείττοσιν, ὠφελιμώτατον.

Οὐ μόνον τὸ εὖ πράσσειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται, ὡς Δημοσθέ-

---

1 εἴδω. 2 ἀπαλλάττω. 3 θεάομαι. 4 πράττω. 5 ἀναγκάζω. 6 κολάζω. 7 κωλύω. 8 σπυδάζω. 9 χρηματίζομαι. 10 ποιέω.

νης εἶπεν, ἀλλὰ τὸ εὐτυχεῖν παρὰ τὴν ἀξίαν ἀφορμὴ τȣ̃ κακῶς πράττειν τοῖς μὴ φρονȣ̃σιν.

Κῦρος ἐδυνήθη ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τȣ̃ πάντας ἑαυτῷ χαρίζεσθαι, ὥϛε ἀεὶ τῇ ἑαυτȣ̃ γνώμῃ ἀξιȣ̃ν κυβερνᾶσθαι.

Ὁ μὲν ἑκȣσίως ταλαιπωρῶν, ἐπ' ἀγαθῇ ἐλπίδι πονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες, ἐλπίδι τȣ̃ λήψεσθαι[1] ἡδέως μοχθȣ̃σι.

Πολλοὶ μέν εἰσιν ἄνθρωποι, οἳ ȣ̉ δύνανται ζῆν ἄνευ τȣ̃ ἄλλων δεῖσθαι, πολλοὶ δὲ ἀγαπῶσιν, ἢν δύνωνται τὰ ἑαυτοῖς ἀρκȣ̃ντα πορίζεσθαι.

Οὔπω ἑώρακας[2] πόλιν ἀντιταττομένην πρὸς πόλιν ἑτέραν, ἥτις, ἐπειδὰν ἡττηθῇ, παραχρῆμα ταύτῃ ἀντὶ τȣ̃ μάχεσθαι, πείθεσθαι θέλει;

Σωκράτης ἔλεγε, τȣ̀ς μὲν φαύλȣς ζῆν τȣ̃ ἐσθίειν καὶ πίνειν ἕνεκεν· τȣ̀ς δ' ἀγάθȣ̀ς ἐσθίειν καὶ πίνειν ἕνεκεν τȣ̃ ζῆν.

Φασὶ τὸν Δημοσθένη πολλάκις καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρȣ́μενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τȣ̃ μηδὲ βȣλομένῳ πάνυ προελθεῖν[3] ἐνδέχεσθαι δι' αἰσχύνην.

Τὸ καλῶς ἔχειν ὀλίγα πολὺ τιμιώτερον τȣ̃ κακῶς ἔχειν πολλά. Πτολεμαῖος ὁ Λάγȣ ȣ̉κ ἐκέκτητο πλείω τῶν ἀναγκαίων, ἀλλὰ τȣ̃ πλȣτεῖν ἔλεγε τὸ πλȣτίζειν εἶναι βασιλικώτερον.

Τὸ μὲν εὖ χρῆσθαι χρήμασι κάλλιόν ἐϛιν, ἢ ὅπλοις. Τȣ̃ δὲ χρῆσθαι τὸ μὴ δεῖσθαι χρημάτων σεμνότερον. Ὁ Κȣ́ριος ἀπεκρίνατο τοῖς Σαμνίταις· βέλτιον εἶναι τȣ̃ χρυσίον ἔχειν, τὸ κρατεῖν ἐχόντων.

Τὸ· Ἡ κακὴ βȣλὴ τῷ βȣλεύσαντι κακίϛη· ταὐτόν ἐϛι τοῖς Πλάτωνος ἐν Γοργίᾳ καὶ πολιτείᾳ δόγμασι, περὶ τȣ̃ τὸ ἀδικεῖν κάκιον εἶναι τȣ̃ ἀδικεῖσθαι, καὶ τȣ̃ κακῶς πάσχειν, τὸ ποιεῖν κακῶς βλαβερώτερον.

---

1 λαμβάνω. 2 ὁράω. 3 προέρχομαι.

Φυλάττȣ, ὅπως μὴ, τȣ̃ εὐδοξεῖν ἐπιθυμῶν, εἰς τἐναντίον ἔλθῃς.

Τȣ̃ μὴ δȣλεύειν γαςρὶ μηδὲ ὕπνῳ οἴει τὶ ἄλλο αἰτιώτερον εἶναι, ἢ τὸ ἕτερα ἔχειν τȣ́των ἡδίω, ἃ ȣ̓ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει, ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί;

Τȣ̃ ζῆν ȣ̓κ ἄξιός ἐςιν, ὁ μὴ ἔχων φίλον χρηςόν.

Δικαίως ἂν Ἀγησίλαος μακαρίζοιτο, ὃς εὐθὺς μὲν ἐκ παιδὸς ἐρασθεὶς τȣ̃ εὐκλεὴς γενέσθαι, ἔτυχε τȣ́τȣ μάλιςα τῶν καθ᾽ ἑαυτόν.

Ἀθάνατα μὲν φρόνει τῷ μὲν μεγαλόψυχος εἶναι· θνητὰ δὲ, τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

Δοκεῖ μοι τȣ́τῳ διαφέρειν ἀνὴρ τῶν ἄλλων ζώων, τῷ τιμῆς ὀρέγεσθαι· ἐπεὶ σιτίοις τε καὶ ποτοῖς καὶ ὕπνοις πάντα ὁμοίως ἥδεσθαι ἔοικε τὰ ζῶα· ἡ δὲ φιλοτιμία ȣ̓́τ᾽ ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, ȣ̓́τ᾽ ἐν ἅπασιν ἀνθρώποις.

Πυθαγόρας ἐκ φιλοσοφίας ἔφησεν ἑαυτῷ περιγεγονέναι τὸ μηδὲν θαυμάζειν· πολλοὶ δὲ κακῶς καὶ παρὰ μέλος τὴν Πυθαγόρȣ φωνὴν ὑπολαμβάνοντες, τὸ μηδένα ἐπαινεῖν μηδὲ τιμᾷν ἐν τῷ καταφρονεῖν τίθενται, καὶ τὸ σεμνὸν ὑπεροψίᾳ διώκȣσιν.

Τῷ ψέγειν τὰ πραχθέντα καὶ τȣ̀ς ἐχθρȣ̀ς κατ᾽ ἀλλήλȣς ὁρῶμεν χρωμένȣς· ὥσπερ Διογένης ἔλεγεν, ὅτι τῷ μέλλοντι σώζεσθαι, δεῖ φίλȣς ἀγαθȣ̀ς, ἢ διαπύρȣς ἐχθρȣ̀ς ὑπάρχειν· οἱ μὲν γὰρ διδάσκȣσιν, οἱ δὲ ἐλέγχȣσι.

Πολλὰ ὁ ἐχθρὸς μᾶλλον αἰσθάνεται τȣ̃ φίλȣ· τυφλȣ̃ται γὰρ τὸ φιλȣ̃ν περὶ τὸ φιλȣ́μενον, ὡς ὁ Πλάτων φησί· τῷ δὲ μισεῖν μετὰ τȣ̃ πολυπραγμονεῖν καὶ τὸ λαλεῖν ἔνεςιν.

Οἱ βασιλικοὶ νόμοι τῶν Περσῶν ȣ̓ μόνον ζημιȣ̃σι τȣ̀ς ἀδικȣ̃ντας, ἀλλὰ καὶ ἀφελȣ̃σι τȣ̀ς δικαίȣς· ὥςε ὁρῶντες πλȣσιωτέρȣς γιγνομένȣς τȣ̀ς δικαίȣς τῶν ἀδίκων πολλοὶ, καὶ φιλοκερδεῖς ὄντες, εὖ μάλα ἐπιμένȣσι τῷ μὴ ἀδικεῖν.

Δεῖ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τȣ̃ βίȣ τελευτήν· τοῖς δὲ σπȣδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν.

Ὁ Ζήνων ὁρῶν τὸν Θεόφρασον ἐπὶ τῷ πολλὲς ἔχειν μαθητὰς θαυμαζόμενον· Ὁ ἐκείνε μὲν χορὸς, ἔφη, μείζων, ἐμὸς δὲ συμφωνότερος.

Ἐμεγαλύνετο ὁ Ἀγησίλαος ἐκ ἐπὶ τῷ πρὸς τὲς πολεμίες, ἀλλ᾽ ἐπὶ τῷ πρὸς πᾶσαν ἀρετὴν ἡγεῖσθαι τοῖς πολίταις.

Γεωργεῖν ἐδίδαξεν ὁ Ἀλέξανδρος Ἀραχωσίες, καὶ Σογδιανὲς ἔπεισε [1] πατέρας τρέφειν, καὶ Πέρσας σέβεσθαι μητέρας.

Ἀγησίλαος καὶ τὰς αὐτῷ χάριτας ὀφειλομένας τῇ πατρίδι καρπῦσθαι παρεδίδε· ἐ τῦτο καὶ μέγα τεκμήριον ἐγκρατείας χρημάτων;

Ἡρακλῆς ἐ μόνον ἐφείσατο Νέσορος, ἀλλὰ καὶ τὴν βασιλείαν τὴν πατρῴαν ἔχειν ἔδωκεν.

Ὑγείαν ἔχειν παρὰ θεῦ αἰτῦνται οἱ ἄνθρωποι, τὴν δὲ ταύτης δύναμιν παρὰ ἑαυτοῖς ἔχοντες ἐκ ἴσασιν· ἀκρατείᾳ γὰρ τὰ ἐναντία πράσσοντες, αὐτοὶ προδόται τῆς ὑγείας γίνονται.

Νικίας ὁ ζωγράφος τοσαύτην περὶ τὸ γράφειν σπεδὴν εἶχεν, ὡς ἐπιλαθέσθαι [2] πολλάκις τροφὴν προσενέγκασθαι [3] προστετηκότα [4] τῇ τέχνῃ.

Πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος ὅτως ἦν ὁ Σωκράτης, ὥςε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκῦντα. Ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.

Εἰς τὸ πειθομένες ἔχειν ἐδὲν ἀνυσιμώτερον τῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρχομένων.

Ἀντιόχε τῦ βασιλέως μετὰ τὸ διαβῆναι Ῥωμαίες ἐπ᾽ αὐτὸν, εἰς Ἀσίαν πέμψαντος πρὸς Σκιπίωνα περὶ διαλύσεως, Ἔδει πρότερον, εἶπεν, ἀλλὰ μὴ νῦν, ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι. [5]

Ἀμείνες ἐσμὲν τὰ τῶν ἄλλων δεινὰ ἐπανορθῦν, ἢ τῶν ἡμῖν αὐτοῖς συμβαινόντων φροντίζειν.

---

1 πείθω. 2 ἐπιλανθάνομαι. 3 προσφέρω. 4 προστήκω. 5 προσδέχομαι.

Ἱκανὸς ὁ Σωκράτης καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ βελτίω καὶ τὰ χείρω, ἱκανὸς δὲ καὶ ἄλλες δοκιμάσαι τε καὶ ἁμαρτάνοντας ἐξελέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν.

Ὑπὲρ τῶν Θρακῶν διατεθρύλληται, ὡς εἰσὶ πιεῖν δεινότατοι.

Πυνθανομένε τινὸς πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι, Ὅσοι, εἶπεν ὁ Ἆγις, ἱκανοὶ τὲς κακὲς ἀπείργειν.

Εἴ τις τὲς τῶν Περσῶν παῖδας οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτο [1], πῶς μὲν ἡδὺ μάζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ διψῶντι πιεῖν.

Τί μεῖζον ἐλέφαντος ἢ φοβερώτερον ἰδεῖν; ἀλλὰ καὶ ἔτος παίγνιον γέγονεν ἀνθρώπε, καί θέαμα πανηγυρικὸν, ὀρχήσεις τε μανθάνει καὶ χορείας καὶ προσκυνήσεις.

Δοκεῖ μοι χαλεπώτερον εἶναι εὑρεῖν ἄνδρα τἀγαθὰ καλῶς φέροντα, ἢ τὰ κακά· τὰ μὲν γὰρ ὕβριν τοῖς πολλοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ.

Τοιῦτος ὁ κόλαξ οἷος, εἰ ψέγοις τινὰ τῶν φίλων πρὸς αὐτὸν, εἰπεῖν· Βραδέως πεφώρακας τὸν ἄνθρωπον· ἐμοὶ μὲν γὰρ ἐδὲ πρότερον ἤρεσκεν.

Ἀγησίλαος ἥκιςα ὢν οἷος μεγαληγορεῖν, ὅμως τῶν ἐπαινέντων αὐτὲς ἐ βαρέως ἤκεεν, ἡγέμενος βλάπτειν ἐδὲν αὐτὲς, ὑπισχνεῖσθαι δὲ ἄνδρας ἀγαθὲς ἔσεσθαι.

Ὁ Κικέρων γενόμενος, ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα, καὶ μηδὲν λόγε, μηδὲ παιδείας, ἀτιμάζειν εἶδος, ἐρρύη [2] πως προθυμότερον ἐπὶ ποιητικήν.

Λέγοντος τινὸς, ὅτι ἀηδῶς ἐσθίοι· Σωκράτης ἀκεόμενος ἔφη, τέτε φάρμακον ἀγαθὸν διδάσκειν. Ἐρομένε δὲ, ποῖον; Παύσασθαι ἐσθίοντα, ἔφη, καὶ ἥδιόν τε καὶ εὐτελέςερον καὶ ὑγιεινότερον φησὶ διάξειν παυσάμενον.

---

1 ἀναμιμνήσκω. 2 ῥύω.

Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. Ἔλπιζε, τιμῶν τὲς γονεῖς, πράξειν καλῶς.

Ὁ Ζεῦξις αἰτιωμένων αὐτὸν τινῶν, ὅτι ζωγραφεῖ βραδέως· Ὁμολογῶ, εἶπεν, ἐν πολλῷ χρόνῳ γράφειν· καὶ γὰρ εἰς πολύν.

Ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καὶ τἄλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφεςέρα ἐςὶν, ἄςρα ἐν τῇ νυκτὶ ἀνέφηναν[1] (οἱ θεοὶ) ἃ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει· καὶ διὰ τὃτο πολλὰ ὧν δεόμεθα πράττομεν.

Ἀγησίλαος, διὰ τὸ φιλόπονος εἶναι, πᾶν μὲν τὸ παρὸν ἡδέως ἔπινε, πᾶν δὲ τὸ συντυχὸν ἡδέως ἤσθιεν, εἰς δὲ τὸ ἀσμένως κοιμηθῆναι πᾶς τόπος ἱκανὸς ἦν αὐτῷ.

Ἔφη ὁ Σωκράτης δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοὶ, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐςὶ, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τὲς θεὲς γὰρ, οἷς ἂν ὦσιν ἵλεω, σημαίνειν.

Ψήφισμα ὀδενὸς ἄξιον, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως ἡμᾶς.

Οἶδα ὅτι, ὥσπερ ἐν ἵπποις, ὅτω καὶ ἐν ἀνθρώποις τισὶν ἐγγίγνεται, ὅσῳ ἂν ἔκπλεω τὰ δέοντα ἔχωσι, τοσὅτῳ ὑβριςοτέροις εἶναι.

Ἠσθόμην πολλῶν, διὰ τὴν ποίησιν οἰομένων, καὶ τ' ἄλλα σοφωτάτων εἶναι.

Οὐχὶ σώματι μὲν ταχὺ διαλύεσθαι προσήκει· ψυχῇ δὲ αὖ τοπαράπαν ἀδιαλύτῳ εἶναι; ἢ ἐγγύς τι τὅτε;

Ἔςιν, τὴν οἰκονομίαν ἐπιςαμένῳ καὶ εἰ μὴ αὐτὸς τύχοι χρήματα ἔχων, τὸν ἄλλε οἶκον οἰκονομὃντα, ὥσπερ καὶ οἰκοδομὃντα, μισθοφορεῖν.

Γελοῖον δὲ ὅλως ἐςὶ τὸ λοιδορεῖν καὶ σκώπτειν ὁτιὃν ἀντιλοιδορηθῆναι δυνάμενον, ὡς Λέων ὁ Βυζάντιος ὑπὸ κυρτὃ λοιδορηθεὶς εἰς τὴν τῶν ὀμμάτων ἀσθένειαν· Ἀν-

---

1 ἀναφαίνω.

θρώπινον, ἔφη, πάθος ὀνειδίζεις, ἐπὶ τῷ νώτῳ φέρων τὴν νέμεσιν.

Θηριῶδες μὲν οὖν, καὶ ἄλογον, καὶ οἰκτρὸν, εἰδότα τὸ βέλτιον, ὑπὸ τοῦ χείρονος ἐξ ἀκρασίας καὶ μαλακίας ἄγεσθαι.

Ψεῦδός ἐστι τὸ εὐθυμεῖν τοὺς μὴ πολλὰ πράσσοντας.

Τὸ ἁμαρτάνειν ἀνθρώπους ὄντας, οὐδὲν οἶμαι θαυμαστόν.

Πρὸς μὲν γονεῖς ἡ φιλαδελφία τοιοῦτόν ἐστιν, ὥστε τὸ φιλεῖν ἀδελφὸν, εὐθὺς ἀπόδειξιν εἶναι τοῦ καὶ τὸν πατέρα φιλεῖν καὶ τὴν μητέρα· πρὸς δὲ παῖδας αὐτοῦ, δίδαγμα καὶ παράδειγμα φιλαδελφίας, οἷον οὐδὲν ἄλλο.

Ὁ Λυκοῦργος τῷ βασιλεῖ τῶν Λακεδαιμονίων γῆν τε ἐν πολλαῖς τῶν περιοίκων πόλεων ἀπέδειξεν ἐξαίρετον τοσαύτην, ὥστε μὴ δεῖσθαι τῶν μετρίων, μήτε πλούτῳ ὑπερφέρειν.

Κῦρος· Πέρσας μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε, συνησθησομένους [1] ἐμοὶ, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, ἢν μετὰ τοῦ θεοῦ γένωμαι.

Ἀριστῶ, ὅσα μήτε κενὸς μήτε ἄγαν πλήρης διημερεύειν.

Τοῖς μὲν οἰκέταις μέτεστι τῶν δεσποσύνων χρημάτων τοσοῦτον, ὅσον φέρειν ἢ θεραπεύειν ἢ φυλάττειν, χρῆσθαι δὲ οὐδενὶ αὐτῶν ἔξεστιν, ὅτῳ ἂν μὴ δῷ ὁ κύριος· δεσπότου δὲ ἅπαντά ἐστιν, ᾧ ἂν βούληται ἕκαστα χρῆσθαι.

Ὡς δὲ συντόμως εἰπεῖν, πονηροῦ μὲν δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι· χρηστοῦ μέντοι πονηροὺς ἤδη εἶδον, οὐ μέντοι ἀζημίους γε.

Καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖν, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε καὶ πόδε καὶ ὀφθαλμὼ καὶ τἄλλα, ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις.

Ὡς συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται.

---

1 συνήδομαι.

Τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγε δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα.

Οὐχ ὁρᾷς ὅτι καὶ ἑαυτοῖς εὖνοι πάντες ὄντες, ὡς εἰπεῖν, ἄνθρωποι, πολλοὶ αὐτῶν εἰσὶν, οἳ ἐκ ἐθέλεσιν ἐπιμελεῖσθαι ὅπως αὐτοῖς ἔςαι ταῦτα, ἃ βέλονται εἶναι σφίσι, τὰ ἀγαθά;

Achter Abschnitt.

Von den Participiis.

Μὴ μόνον ἐκεῖνο τὸ θρυλλέμενον ἀκηκοὼς ἔςω ὁ νέος, ζωγραφίαν μὲν εἶναι φθεγγομένην τὴν ποίησιν, ποίησιν δὲ σιγῶσαν τὴν ζωγραφίαν· ἀλλὰ πρὸς τέτῳ διδάσκωμεν αὐτὸν, ὅτι γεγραμμένην σαῦραν, ἢ πίθηκον ἰδόντες ἡδόμεθα καὶ θαυμάζομεν, ἐχ ὡς καλὸν, ἀλλ' ὡς ὅμοιον.

Οὐ γάρ σοι αἰσχρὸν τὰ ῥάδια διδάσκειν ἐςὶν, ἀλλ' ἐμοὶ πολὺ αἴσχιον μὴ ἐπίςασθαι, ἄλλως τε καὶ εἰ χρήσιμα ὄντα τυγχάνει.

Ἡμῖν ἡ μάθησις ἐκ ἄλλό τι, ἢ ἀνάμνησις, τυγχάνει ἔσα, καὶ κατὰ τἔτο ἀνάγκη πε, ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι, ἃ νῦν ἀναμιμνησκόμεθα.

Ὅθεν δὲ ἀπελίπομεν, ἐπανέλθωμεν, εἴ σοι ἡδομένῳ ἐςίν.

Οὐ παράγεται ὁ θεὸς ὑπὸ δώρων, ὡς τοκιςὴς, ἀλλ' ὑποβλέπει πρὸς τὴν ψυχὴν, ἐάν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ.

Τὰ πολλὰ λανθάνεσιν ἔνιοι καὶ ἀπὸ τῶν ἠθῶν καὶ ἀπὸ τῶν βίων [1] ἀναλαμβάνοντες· ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τἔ χαμαιλέοντος πέπονθεν· ἐκεῖνός τε γὰρ ἁπάσῃ χροιᾷ, πλὴν τἔ λευκἔ, συναφομοιἔται.

Οἱ κακοὶ ἢ παντελῶς ἀμοιρἔσι ταφῆς, ἢ καὶ, ἐὰν φθάσωσι ταφέντες, ὅμως καὶ ἐκ τῆς τελευταίας τι-

---

1 nemlich anderer Menschen.

μῆς, καὶ τοῦ κοινοῦ πάντων σωμάτων ὅρμου καὶ ἐκεῖθεν ἐκπίπτουσι.

Ὁ πάντα θαυμάζων, καὶ πᾶσιν ἐξοικειούμενος, ὥσπερ οἱ τὴν Πλάτωνος ἀπομιμούμενοι κυρτότητα, καὶ τὴν Ἀριστοτέλους τραυλότητα, λήσεται πρὸς πολλὰ τῶν φαύλων εὐχερὴς γενόμενος.

Ὁ Σωκράτης ὁσάκις αἴσθοιτο κινουμένου τραχύτερον αὐτοῦ πρός τινα τῶν φίλων, πρὸ κύματος ὥς τινα ποντίαν ἄκραν στελλόμενος, ἐνεδίδου τε τῇ φωνῇ, καὶ διεμειδία τῷ προσώπῳ, καὶ τὸ βλέμμα πρᾳότερον παρεῖχε.

Οἶδα τὸν πλοῦτον ἐφήμερον ἔχων καὶ οὐ βέβαιον. Οἶδα τὴν ἀρχὴν ἀφελέσθαι δυναμένους τοὺς δεδωκότας. Οἶδα καὶ τὸν φίλον, ἄνθρωπον ὄντα, φύσει εὐμετάβολον ζῶον, ὡς ὁ Πλάτων εἶπεν.

Διονύσιος ὁ πρεσβύτερος οὐκ ἠγάπα μέγιστος ὢν τῶν τότε τυράννων, ἀλλ' ὅτι Φιλοξένου τοῦ ποιητοῦ μὴ βέλτιον ᾖδε, μηδὲ περιῆν ἐν τῷ διαλέγεσθαι Πλάτωνος, ὀργισθεὶς καὶ παροξυνθεὶς, τὸν μὲν εἰς τὰς λατομίας ἐνέβαλε, τὸν δὲ ἀπέδοτο πέμψας εἰς Αἴγιναν.

Ὁρῶ ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους.

Ἄνθρωπον ὄντα σαυτὸν ἀναμιμνήσκου ἀεί. Ἐν τοῖς λυπηροῖς ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν, ὡς ἄνθρωπος ὢν, ὑπομιμνήσκῃς.

Καθάπερ ὁ Σιμωνίδης ἔλεγε, μηδέποτ' αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις· οὕτως ἡμῖν οὔτ' ὄψον παρωσαμένοις μετεμέλησεν, οὔτε ὕδωρ ἀντὶ Φαλέρνου πιοῦσιν· ἀλλὰ τοὐναντίον.

Καταμαθὼν ποτε ἀπὸ τῶν αὐτῶν ἔργων τοὺς μὲν πάνυ ἀπόρους ὄντας, τοὺς δὲ πάνυ πλουσίους, ἀπεθαύμασα, καὶ ἔδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως ὅτι εἴη τοῦτο· καὶ εὗρον ἐπισκοπῶν πάνυ οἰκείως ταῦτα γιγνόμενα.

Τοὺς μὲν γὰρ εἰκῇ ταῦτα πράττοντας, ζημιουμένους ἑώρων, τοὺς δὲ γνώμῃ συντεταμένῃ ἐπιμελουμένους, καὶ θᾶττον καὶ ῥᾷον καὶ κερδαλεώτερον κατέγνων πράττοντας.

Λέξω

Λέξω δὲ καὶ ἃ Ἑρμογένȣς ἤκȣσα περὶ Σωκράτȣς· ἔφη γὰρ, ἤδη Μελίτȣ γεγραμμένȣ αὐτὸν τὴν γραφὴν, αὐτὸς ἀκȣ́ων αὐτȣ͂ πάντα μᾶλλον ἢ περὶ τῆς δίκης διαλεγομένȣ, λέγειν αὐτῷ, ὡς χρὴ σκοπεῖν ὅ τι ἀπολογήσεται, τὸν δὲ εἰπεῖν· Οὐ γὰρ δοκῶ σοι τȣ͂το μελετῶν διαβεβιωκέναι;

Χρὴ τȣ̀ς εὖ φρονȣ͂ντας· ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν ȣ̓ καθορῶμεν· τὸ πολλάκις ὠφελȣ͂ν τȣ͂το φαίνεσθαι προαιρȣμένȣς.

Θεμιςοκλῆς εἰπὼν, ὡς ȣ̓κ ἐᾷ καθεύδειν αὐτὸν, ἀλλ' ἐκ τῶν ὕπνων, ἀνίςησι, τὸ Μιλτιάδȣ τρόπαιον, ȣ̓κ ἐπαινῶν μόνον, ȣ̓δὲ θαυμάζων, ἀλλὰ καὶ ζηλῶν καὶ μιμȣ́μενος, εὐθὺς ἦν καταφανής.

Ἀγησίλαος, ἀγγελίας μὲν ἐλθȣ́σης αὐτῷ, ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων ἐγγὺς δὲ τῶν πολεμίων μύριοι τεθναῖεν, ȣ̓κ ἐφησθεὶς φανερὸς ἐγένετο, ἀλλ' εἶπεν ἄρα, Φεῦ, ὦ Ἑλλὰς, ὁπότε οἱ νῦν τεθνηκότες ἱκανοὶ ἦσαν ζῶντες νικᾷν μαχόμενοι πάντας βαρβάρȣς.

Ζεῦξις ὁ Ἡρακλεώτης ἔγραψε τὴν Ἑλένην· Νικόςρατος ȣ̓͂ν ὁ ζωγράφος ἐξεπλήττετο τὴν εἰκόνα, καὶ τεθηπὼς τὸ γράμμα δῆλος ἦν.

Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι, προσήκειν τοῖς βασιλεῦσι, πόλιν τε δυστυχȣ͂σαν παῦσαι, καὶ κακῶς πράττȣσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι.

Τοῖς πράγμασι παυσόμεθα μεμφόμενοι καὶ δυσχεραίνοντες, ἂν ἑτέρȣς τὰ αὐτὰ προσδεχομένȣς ἀλύπως καὶ ἱλαρῶς ὁρῶμεν.

Λιχνεία, οἰνοφλυγία καὶ ἄλλαι τοιαῦται δέσποιναι αἰκιζόμεναι τὰ σώματα τῶν ἀνθρώπων καὶ τὰς ψυχὰς καὶ τȣ̀ς οἴκȣς ȣ̓͂ποτε λήγȣσιν, ἔς' ἂν ἄρχωσιν αὐτῶν.

Ἐξ ὅτȣπερ ξυνιέναι τὰ λεγόμενα ἠρξάμην, ἔφη ὁ Σωκράτης, ȣ̓ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ τι ἐδυνάμην ἀγαθόν.

Ὅπερ πολλάκις καὶ πρὸς πολλȣ̀ς τῶν πατέρων διατελῶ λέγων, καὶ νῦν ἂν εἴποιμι· Γένος ȣ̓δέν ἐςι

ἐξωλέςερον, ἐδὲ μᾶλλον καὶ θᾶττον ἐκτραχηλίζον τὴν νεότητα, ὡς τῶν κολάκων.

Ἀντισθένης ἐρωτηθεὶς ὑπό τε, τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη, εἰ τὰ κακὰ, ἃ ἔχεις, ὅτι φευκτά ἐςι μάθοις παρὰ τῶν εἰδότων.

Ζήνωνος χρηςηριαζομένε, τί πράττων ἄριςα βιώσεται; ἀποκρίνασθαι τὸν Θεόν φασι, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς, ὅτεν ξυνέντα [1] τὰ [2] τῶν ἀρχαίων ἀναγινώσκειν.

Genitivus absolutus.

Ὁ Νασικᾶς, οἰομένων τινῶν καὶ λεγόντων, ἐν ἀσφαλεῖ γεγονέναι τὰ Ῥωμαίων πράγματα, Καρχηδονίων μὲν ἀνῃρημένων, Ἀχαιῶν δὲ δεδελωμένων· Νῦν μὲν ἐν, εἶπεν, ἐπισφαλῶς ἔχομεν, μήτε ἐς φοβηθῶμεν, μήτε ἐς αἰσχυνθῶμεν, ἑαυτοῖς ἀπολελοιπότες.

Πυθαγόρε τραχύτερον ἐν πολλοῖς γνωρίμῳ προσενεχθέντος, ἀπάγξασθαι τὸ μειράκιον λέγεσιν· ἐκ τέτε δὲ μηδέποτε τὸν Πυθαγόραν αὖθις, ἄλλε παρόντος ἄλλον νεθετῆσαι.

Φασὶν εἰπεῖν Ἐπαμινώνδαν μετὰ παιδιᾶς, ἀνδρὸς ἀγαθε περὶ τὰ Λευκτρικὰ νόσῳ τελευτήσαντος· Ὦ Ἡράκλεις· πῶς ἐσχόλασεν ἀνὴρ ἀποθανεῖν ἐν τοσέτοις πράγμασι;

Ἐν ἀποδημίᾳ Ἀγησίλαος ἀεὶ ἦν ἐν ἱερῷ, ἢ ἐν φανερῷ, μάρτυρας τὲς πάντων ὀφθαλμὲς τῆς σωφροσύνης ποιέμενος. Εἰ δ' ἐγὼ ταῦτα ψεύδομαι, ἀντία τῆς Ἑλλάδος ἐπιςαμένης, ἐκεῖνον μὲν ἐδὲν ἐπαινῶ, ἐμαυτὸν δὲ ψέγω.

Τίνος δ' ἐκποδὼν γενομένε μᾶλλον ἥσθησαν οἱ πολέμιοι, ἢ Ἀγησιλάε, καίπερ γηραιε τελευτήσαντος;

Χαλεπὸν, τε διδασκάλε πονηρῶς τι ὑποδεικνύοντος, καλῶς τετο ποιεῖν μαθεῖν· καὶ ἀμελεῖν γε

---

1 ξυνίημι. 2 sc. γράμματα.

ὑποδεικνύοντος τȣ̃ δεσπότȣ, χαλεπὸν ἐπιμελῆ θεράποντα γενέσθαι.

Αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βȣλόμενον ἐν τῇ πόλει ϛρατηγεῖν, ἐξὸν τȣ̃το μαθεῖν, ἀμελῆσαι αὐτȣ̃· καὶ δικαίως ἂν ȣ̓̃τος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη, μὴ μεμαθηκὼς ἀνδριαντοποιεῖν.

Ἀλκιβιάδης ἐπὶ κρίσιν καλȣ́μενος θανατικὴν ἐκ Σικελίας ὑπὸ τῶν Ἀθηναίων, ȣ̓χ ὑπήκȣσεν, εἰπών· Εὔηθες τὸν ἔχοντα δίκην, ζητεῖν μὴ ἀποφυγεῖν, ἐνὸν φυγεῖν.

Ἦλθον, ὅτ' ἐκείνῳ ἔδοξεν, καὶ ἄπειμι πάλιν ἐκείνῳ δοκȣ̃ν.

Τὸ πλῆθος ἐψηφίσατο πολεμεῖν. Δεδογμένον [1] δὲ αὐτοῖς, εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν, ἀπαρασκευόις ȣ̓̃σιν.

Neunter Abschnitt.

Von dem Adverbio.

Τοῖς ἀληθῶς φίλοις ȣ̓́τε ζῆλος ȣ̓δεὶς ἐϛι πρὸς ἀλλήλȣς, ȣ̓́τε φθόνος, ἀλλὰ κἂν ἶσον ἔχωσιν ἐν τῷ κατορθȣ̃ν, κἂν ἔλαττον, ἀνεπαχθῶς καὶ μετρίως φέρȣσιν.

Ὁ μὲν φίλος ἔϛιν ὅτε μήτ' εἰπὼν, μήτ' ἀκȣ́σας μηδὲν, ἀλλὰ προσβλέψας καὶ μειδιάσας, τὸ εὐμενὲς καὶ τὸ οἰκεῖον ἔνδοθεν διδȣ̀ς ταῖς ὄψεσι καὶ δεξάμενος, παρῆλθεν.

Ἐρώτων καὶ ἐπιθυμιῶν, καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησιν ἡμᾶς τὸ σῶμα· ὥϛε τὸ λεγόμενον ὡς ἀληθῶς τῷ ὄντι· Ὑπ' αὐτȣ̃ ȣ̓δὲ φρονῆσαι ἡμῖν ἐγγίνεται ȣ̓δέποτε ȣ̓δέν.

Εἰ δὲ μὴ οἷόν τε μετὰ τȣ̃ σώματος μηδὲν καθαρῶς γνῶναι, δυοῖν τὸ ἕτερον, ἢ ȣ̓δαμȣ̃ ἐϛι κτήσασθαι τὸ εἰδέναι, ἢ τελευτήσασι.

---

1 δοκέω.

Οὐδὲ Πυθαγόρας ἔγραψεν ἐδὲν, ἐδὲ Σωκράτης, ἐδὲ Ἀρκεσίλαος, ἐδὲ Καρνεάδης, οἱ δοκιμώτατοι τῶν Φιλοσόφων.

Ἰωσὴφ, βελευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τῦ Ἰησῦ, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, ὗ ἐκ ἦν ἐδέπω ἐδεὶς κείμενος.

Ὁ μισῶν ἀδελφὸν αὐτῦ καὶ βαρυνόμενος, ἐ δύναται μὴ τὸν γεννήσαντα μέμφεσθαι καὶ τὴν τεκῦσαν.

Ἐγὼ κατανοῶν τῦ Σωκράτες τήν τε σοφίαν καὶ τὴν γενναιότητα, ἔτε μὴ μεμνῆσθαι δύναμαι αὐτῦ, ἔτε μεμνημένος μὴ ἐκ ἐπαινεῖν.

Οὐχ οἷόν τε τὲς καλῶς τρεφομένες, ἐ τῆς ἀρετῆς μετέχειν.

Τιμόθεον εἰπεῖν φασι τῇ προτεραίᾳ δεδειπνηκότα ἐν Ἀκαδημίᾳ παρὰ Πλάτωνι μεσικὸν καὶ λιτὸν δεῖπνον, ὡς οἱ παρὰ Πλάτωνι δειπνήσαντες, καὶ εἰσαύριον ἡδέως γίνονται.

Ὁ Πλάτων τοῖς πρεσβύταις μᾶλλον παρῄνει αἰσχύνεσθαι τὲς νέες, ἵνα κᾀκεῖνοι πρὸς αὐτὲς αἰδημόνως ἔχωσι.

Ἐρωτηθεὶς ὁ Τήλεκρος, διὰ τί ἔθος παρ' αὐτοῖς (Σπαρτιάταις) ἐςὶ τὲς νεωτέρες τοῖς πρεσβυτέροις ἐξανίςασθαι, Ὅπως, ἔφη, περὶ τὲς μὴ προσήκοντας ἕτως ἔχοντες τιμῆς, μᾶλλον τιμῶσι τὲς γονέας.

Σωκράτης νόσῳ περιπεσὼν, ἐπεί τις αὐτὸν ἠρώτησε πῶς ἔχει; Καλῶς, εἶπε, πρὸς ἀμφότερα. Ἐὰν μὲν γὰρ ζῶ, ζηλωτὰς ἕξω πλείονας· εἰ δὲ ἀποθάνω, ἐπαινέτας πλείονας.

Κλέαρχος ὁμολογεμένως ἐκ πάντων, τῶν ἐμπείρως αὐτῦ ἐχόντων, ἔδοξε γενέσθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως.

Λακεδαιμόνιοι μεσικῆς ἀπείρως εἶχον· Ἔμελε γὰρ αὐτοῖς γυμνασίων καὶ ὅπλων. — Καὶ Θεκυδίδης δὲ ὁμολογεῖ, ὅτι μὴ ἐσπεδασμένως περὶ παιδείας εἶχον.

Ὅςις ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς Κῦρον τὸν νεώτερον, πάντας ὅτω διατιθεὶς ἀνεπέμπετο, ὥσθ' ἑαυτῷ μᾶλλον φίλȣς εἶναι, ἢ βασιλεῖ.

Κυαξάρης· Ἀλλ', ὦ Κῦρε, ὅτι μὲν μάλιςα ἀνθρώπων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι μηδὲ πρὸς μίαν ἡδονὴν ἁπλήςως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκȣ́ων οἶδα.

Νῦν ἐγὼ πρῶτον ἐπὶ δικαςήριον ἀναβέβηκα, ἔτη γεγονὼς πλείω ἑβδομήκοντα. Ἀτεχνῶς ȣ̓̃ν ξένως ἔχω τῆς ἐνθάδε λέξεως. Plat. apol. 1, 13.

Ἀλλὰ μὴν κᾀκεῖνο φανερὸν, ὅτι πάντες ἄνθρωποι τȣ́των πλείςην μνείαν ἔχȣσιν, ὧν ἂν ἐν ταῖς συμφοραῖς εὖ πάθωσιν.

Τῶν Ἀθηναίων οἵ τε ȣ̓σίας ἔχοντες ȣ̓χ ὑπερεώρων [1] τȣ̀ς καταδεέςερον πράττοντας· ἀλλ' ὑπολαμβάνοντες, αἰσχύνην αὐτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν.

Ἐκ τȣ̃ σωφρόνως οἰκεῖν χρὴ κρίνειν τȣ̀ς ὡς ἀληθῶς εὖ πράττοντας.

Τῷ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς. Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ, ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾷν ἀεί.

Οὐκ ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει, ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος, ἐπὰν ἐπ' ἄκρον τις τȣ̃ καλῶς πράττειν δράμῃ. [2]

Ἐκεῖνο δὲ ȣ̓ φανερὸν, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτȣ̀ς πλεῖστα ἀγαθὰ πάσχȣσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖςα κακά;

Ὁ καιρὸς ἐν παντὶ μὲν παρεθεὶς μεγάλα βλάπτει, μάλιςα δὲ τῆς παῤῥησίας διαφθείρει τὸ χρήσιμον.

Πρᾳότατός γε μὴν φίλος ὢν ὁ Ἀγησίλαος, ἐχθροῖς φοβερώτατος ἦν· καὶ πόνοις μάλιςα ἀντέχων, ἑταίροις ἥδιςα ὑπεῖκε.

Βȣλευσάμενος πολλὰ ἧκε ἐπὶ τὸ λέγειν ἢ πράττειν· ȣ̓ γὰρ ἕξεις ἐξȣσίαν ἀνακαλέσασθαι τὰ πραχθέντα ἢ λεχθέντα.

---

1 ὑπερoράω. 2 τρέχω.

Zehnter Abschnitt.

Von den Präpositionen.

A) Welche nur Einen Casus regieren.

Οἱ παῖδες τοῖς γονεῦσιν ἀντὶ πολλῶν χάριν ὀφείλοντες, μάλιςα διὰ τȣ̀ς ἀδελφȣ̀ς ὀφείλȣσιν· ὡς τȣ̃το δὴ κτημάτων ἁπάντων τιμιώτατον καὶ ἥδιςον ἔχοντες παρ' αὐτῶν.

Ὁ Περσῶν βασιλεὺς ἐτόλμησε γράφειν, ὅτι δεσπότης ἐςὶν ἁπάντων ἀνθρώπων, ἀφ' ἡλίȣ ἀνιόντος, μέχρι δυομένȣ.

Οὐκ ἂν ῥαδίως γέ τις εὕροι Σπαρτιατῶν ȣ̓̃τε ὑγιεινοτέρȣς, ȣ̓̃τε τοῖς σώμασι χρησιμωτέρȣς· ὁμοίως γὰρ ἀπό τε τῶν σκελῶν, καὶ ἀπὸ χειρῶν, καὶ ἀπὸ τραχήλȣ γυμνάζονται.

Κύρῳ βασίλεια ἦν, καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππȣ, ὁπότε γυμνάσαι βȣ́λοιτο ἑαυτόν τε καὶ τȣ̀ς ἵππȣς.

Ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τȣ̃το, ὅτι, ὁπόσοι μὲν μαςεύȣσι ζῆν ἐκ παντὸς τρόπȣ ἐν τοῖς πολεμικοῖς, ȣ̓̃τοι κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπιτοπολὺ ἀποθνήσκȣσιν.

Ἥδιον ἔλεγεν ὁ Βίας δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον· τῶν δὲ ἐχθρῶν τὸν ἕτερον, φίλον.

Κἀκεῖνο ἦν τοῖς Πέρσαις ἐπιχώριον, τὸ μεταξὺ πορευομένȣς μήτε ἐσθίειν, μήτε πίνειν, μήτε τῶν διὰ ταῦτα ἀναγκαίων μηδὲν ποιȣ̃ντας φανερȣ̀ς εἶναι.

Σκαῦρος ἐχθρὸς ἦν Δομιτίȣ καὶ κατήγορος· οἰκέτης ȣ̓̃ν τȣ̃ Δομιτίȣ πρὸ τῆς δίκης ἧκε πρὸς αὐτὸν, ὡς ἔχων τι μηνύσαι τῶν λανθανόντων ἐκείνῳ· ὁ δ' ȣ̓κ εἴασεν εἰπεῖν, ἀλλὰ συλλαβὼν τὸν ἄνθρωπον ἀπέςειλε πρὸς τὸν δεσπότην.

Ἐρωτηθεὶς ὁ Ἀναχάρσις πῶς ȣ̓κ ἂν γένοιτό τις φιλοπότης, Εἰ πρὸ ὀφθαλμῶν, εἶπεν, ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας.

Τὰς ὑπὸ τῶν ἐλεφάντων, ἢ ἐν ταῖς θήραις, ἢ ἐν ταῖς μάχαις ἀποθανόντας οἱ Λίβυες θάπτουσι διαπρεπῶς καὶ ὕμνους τινὰς ᾄδουσιν.

Τὸν λοίδορον ἐξελάσαι τῶν φίλων κελευόντων, οὐκ ἔφη ὁ Φίλιππος ποιήσειν, ἵνα μὴ περιϊὼν ἐν πλείοσι, κακῶς λέγῃ.

Δεῖ σὺν εὐκολίᾳ καὶ γέλωτι καὶ φιλοφροσύνῃ τοὺς φίλους δέχεσθαι, μὴ τὰς ὀφρῦς συνάγοντας, μηδὲ φρίκην καὶ τρόμον ἐμβάλλειν τοῖς ὑπηρετοῦσιν.

Ὅταν οἱ ἄνθρωποι ἄνδρα ἡγησάμενοι εὐεργετεῖν ἱκανὸν εἶναι, καὶ ἀπολαύειν αὐτοῦ ἀγαθὰ νομίσαντες, ἔπειτα τοῦτον ἀνὰ στόμα τε ἔχωσιν ἐπαινοῦντες, θεῶνται τ' αὐτὸν ὡς οἰκεῖον ἕκαστος· οὗτοι ἔμοιγε δοκοῦσι τιμᾷν τε τοῦτον ἀληθῶς.

Λέγουσι καὶ Ἀριστόξενον τῷ γέλωτι ἀνὰ κράτος πολέμιον γενέσθαι· Ἡράκλειτόν τε, ὅτι πάντα τὰ ἐν τῷ βίῳ ἔκλαεν.

Τὸν Ἀντίγονον ἀπὸ τοῦ τείχους τινὲς εἰς ἀμορφίαν ἔσκωπτον· ὁ δὲ πρὸς αὐτούς· Καὶ μὴν ἐδόκουν εὐπρόσωπος εἶναι. λαβὼν δὲ τὴν πόλιν, ἐπίπρασκε τοὺς σκώπτοντας μαρτυράμενος, ὅτι πρὸς τοὺς δεσπότας ἕξει τὸν λόγον, ἂν πάλιν αὐτὸν λοιδορῶσιν.

B. Welche zwey Casus regieren.

Δι' ἀρετῆς ἴσασι Ῥωμαῖοι ἀγαθοὶ εἶναι, οὐ μὴν διὰ τέχνης, καὶ πανουργίας, καὶ ἐπιβουλῆς καταγωνίσασθαι τοὺς ἐχθρούς.

Ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειράσομαι διδάσκειν ὑμᾶς, ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τοὺς θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας, καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίνονται.

Ὁρῶ ὅλως τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κακίαν ἀπολλύμενον, δι' ἀρετὴν δὲ σωζόμενον.

Διαβαίνουσιν οἱ κύκνοι καὶ πέλαγος, καὶ πέτονται καὶ κατὰ θαλάσσης, καὶ αὐτοῖς οὐ κάμνει τὸ πτερόν.

Τὸ ἐν ψυχῇ στῆσαι κατὰ θυμοῦ τρόπαιον (ὃ χαλε-

πὸν εἶναι διαμάχεσθαι, φησὶ Ἡράκλειτος) μεγάλης ἐςὶ καὶ νικητικῆς ἰσχύος.

Ἀρχύτας τᾶτε ἄλλα ἦν σώφρων, καὶ ἒν καὶ τὰ ἄκοσμα ἐφυλάττετο τῶν ὀνομάτων. Ἐπεὶ δέ ποτε ἐβιάζετό τι εἰπεῖν τῶν ἀπρεπῶν, ἐκ ἐξενικήθη, ἀλλ' ἐσιώπησε μὲν αὐτὸ, ἐπέγραψε δὲ κατὰ τᾶ τοίχα.

Ὅρκες ἀλλήλοις ἐν τῇ Σπάρτῃ κατὰ μῆνα ποιᾶνται, ἔφοροι μὲν ὑπὲρ τῆς πόλεως, βασιλεὺς δ' ὑπὲρ ἑαυτᾶ. Ὁ δὲ ὅρκος ἐςὶ, τῷ μὲν βασιλεῖ, κατὰ τὰς τῆς πόλεως κειμένες νόμες βασιλεύειν· τῇ δὲ πόλει, ἐμπεδορκᾶντος ἐκείνα ἀςυφέλικτον τὴν βασιλείαν παρέξειν.

Ἡ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς.

Ῥᾷον ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέρει μετὰ φίλων, ἢ μόνος εὐτυχίαν τὴν μεγίςην.

Οἵ γε πάντες λέγεσι καὶ ᾄδεσιν, ὡς γονεῦσι τιμὴν μετὰ θεὰς, πρώτην καὶ μεγίςην ἥ τε φύσις, ὅ τε φύσιν σώζων νόμος ἀπέδωκε.

Οἱ Περιπατητικοί φασι, μεθ' ἡμέραν θητεύεσαν τὴν ψυχὴν τῷ σώματι περιπλέκεσθαι, καὶ μὴ δύνασθαι καθαρῶς τὴν ἀλήθειαν θεωρεῖν. Νύκτωρ δὲ διαλυθεῖσαν τῆς περὶ τᾶτο λειτεργίας μαντικωτέραν γίνεσθαι, ἐξ ὧν τὰ ἐνύπνια.

Ἀρίςιππος πρὸς τὸν ὑπὲρ αὐτᾶ λογογράφον δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτὸν, τί σε ὤνησε Σωκράτης; ἔφη, τᾶτο, τὰς λόγες, ὃς εἶπας ὑπὲρ ἐμᾶ, ἀληθεῖς εἶναι.

Λαβὼν ὁ Κῦρος ἱερεῖα ἔθυε ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοὶ, πολλὴ ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέλειαν, καὶ ἐδέποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα.

Ἰσοκράτης, ἤδη γέρων γεγονὼς, πρὸς τὸν πυθόμενον, πῶς διάγει· Οὕτως, εἶπεν, ὡς ἄνθρωπος ὑπὲρ ἐνενήκοντα ἔτη γεγονὼς, καὶ μέγιςον ἡγέμενος τῶν κακῶν τὸν θάνατον.

C. Welche drey Casus regieren.

Καλῶς μοι δοκεῖ ἔχειν ἡ τȣ̃ βαρβάρȣ λεγομένη ἀπόκρισις, ὅτε βασιλεὺς ἄρα ἵππȣ ἐπιτυχὼν ἤρετο τῶν δεινῶν τινα ἀμφ' ἵππȣς δοκȣ́ντων εἶναι, τί τάχιςα παχύνει ἵππον; τὸν δ' εἰπεῖν λέγεται, ὅτι δεσπότȣ ὀφθαλμός.

Ἐκαλλωπίζετο ὁ Ἀγησίλαος τῇ μὲν ἀμφὶ τὸ σῶμα φαυλότητι, τῷ δ' ἀμφὶ τὸ ςράτευμα κόσμῳ, τῷ δ' αὐτὸς ὡς ἐλαχίςων δεῖσθαι, τῷ δὲ τȣ̀ς φίλȣς ὡς πλεῖςα ὠφελεῖν.

Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες, ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελταςαὶ δὲ ἀμφὶ τȣ̀ς δισχιλίȣς.

Ἔφη ὁ Σωκράτης πρὸς τȣ̀ς ἀμφὶ τὸν Κρίτωνα καὶ Σιμμίαν, καὶ Φαίδωνα· καὶ πῶς ὑπὲρ ἡμῶν καλῶς Ἀπολλόδωρος ȣ̈τω δοξάζει, εἴγε αὐτὸς πεπίςευκεν, ὅτι μετὰ τὴν ἐξ Ἀθηναίων φιλοτησίαν, καὶ τὸ τȣ̃ φαρμάκȣ πόμα ἔτι ȣ̈τως ὄψεται Σωκράτην.

Πλȣ́ταρχος παρεκελεύετο τοῖς νέοις τρία ταῦτα ἔχειν· ἐπὶ μὲν τῆς γνώμης σωφρονεῖν, ἐπὶ δὲ τῆς γλώττης σιγὴν, ἐπὶ δὲ τȣ̃ προσώπȣ αἰδώ.

Πρὸς τὸν δυσφορȣ̃ντα, ὅτι ἐπὶ ξένης τελευτᾷ, Πανταχόθεν ἔφη Ἀναξαγόρας, ὁμοία ἐςὶν ἡ εἰς ᾅδȣ κατάβασις.

Ὀγκȣ̃σθαι ἐπὶ γένει, ἐπαίρεσθαι ἐπὶ πλȣ́τῳ, καὶ φυσᾶσθαι ἐπὶ δυνάμει, ȣ̓δενὶ θέμις ἐςίν.

Οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ κακοδαιμονία, τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι;

Οὐκ ἔςιν εἰπεῖν ζῶντα, τȣ̃τ' ȣ̓ πείσομαι, ἀλλ' ἔςιν εἰπεῖν ζῶντα, τȣ̃το ȣ̓ ποιήσω, ȣ̓ ψεύσομαι, ȣ̓ ῥᾳδιȣργήσω, ȣ̓κ ἀποςερήσω, ȣ̓κ ἐπιβȣλεύσω. Τȣ̃το γὰρ ἐφ' ἡμῖν κείμενον, ȣ̓ μικρὸν, ἀλλὰ μέγα πρὸς εὐθυμίαν πάρεσιν.

Ἐξηπάτησεν ὁ Ζώπυρος Βαβυλωνίȣς, καὶ πιςευθεὶς ὑπ' αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν, πολλάκις ὁ Δαρεῖος εἶπεν ȣ̓κ ἂν ἐθελῆσαι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

Ὁρῶ πολλὲς μὲν ἰδιώτας, οἱ πάνυ πολλὰ ἔχοντες χρήματα ὅτω πένεσθαι ἡγῦνται, ὥςε πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύονται, ἐφ' ᾧ πλείονα κτήσονται.

Πανταχόθεν εἰργόμενος ὁ Ἀλκιβιάδης καὶ σωτηρίας ὐδεμιᾶς ἄλλης αὐτῷ φαινομένης· τὸ τελευταῖον ἐπὶ Λακεδαιμονίυς ἠναγκάσθη καταφυγεῖν.

Εἴ τι δόξειε τῷ Σωκράτει σημαίνεσθαι παρὰ τῶν θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆσαι, ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδῦ λαβεῖν ἡγεμόνα τυφλὸν καὶ μὴ εἰδότα τὴν ὁδὸν, ἀντὶ βλέποντος καὶ εἰδότος. καὶ τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες παρὰ τὰ παρὰ τῶν θεῶν σημαινόμενα ποιῦσί τι, φυλαττόμενοι τὴν παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν, αὐτὸς δὲ πάντα τἀνθρώπινα ὑπερεώρα πρὸς τὴν παρὰ θεῶν ξυμβυλίαν.

Διδόντος τῷ Ἀγησιλάῳ πάμπολλα δῶρα Τιθραύςυ, εἰ ἀπέλθοι ἐκ τῆς χώρας, ἀπεκρίνατο ὁ Ἀγησίλαος· Ὦ Τιθραύσα νομίζεται παρ' ἡμῖν, τῷ ἄρχοντι κάλλιον εἶναι τὴν ςρατιὰν ἢ ἑαυτὸν πλυτίζειν, καὶ παρὰ τῶν πολεμίων λάφυρα μᾶλλον ἢ δῶρα λαμβάνειν.

Οἱ πολλοὶ πάντα καταμέμφονται, καὶ πάντα τὰ παρὰ τὰς ἐλπίδας αὐτοῖς συμβεβηκότα, ἐξ ἐπηρείας τύχης καὶ δαιμόνων γίνεσθαι νομίζυσι.

Ἐκ τῆς Ξενοφῶντος πρὸς Αἰσχίνην ἐπιςολῆς· Ὥσπερ ὖν ἠρξάμην σε θαυμάζων, ὅτω καὶ νῦν, παρ' ὁντινῦν τῶν σοφίαν ἀσπασαμένων, τεθαύμακα τὸ ἀμετάκλασόν σῦ τῆς γνώμης.

Ὦ ἄνθρωποι, ποῖ φέρεσθε, οἵτινες χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιεῖσθε σπυδὴν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε;

Θαῤῥεῖν χρὴ περὶ τῇ αὐτῦ ψυχῇ ἄνδρα, ὅςις ἐν τῷ βίῳ τὰς μὲν ἄλλας ἡδονὰς τὰς περὶ τὸ σῶμα, καὶ τὺς κόσμυς, εἴασε χαίρειν, ὡς ἀλλοτρίυς τε ὄντας.

Οὐδεμία ἀνθρωπίνη ἡδονὴ τῦ θείυ ἐγγυτέρω δοκεῖ εἶναι, ἢ ἡ περὶ τὰς τιμὰς εὐφροσύνη.

Οὐκ ᾤετο ὁ Κῦρος προσήκειν ὐδενὶ ἀρχῆς, ὅςις μὴ βελτίων εἴη τῶν ἀρχομένων· καὶ ὅτως ἀσκῶν τὺς περὶ

ἑαυτὸν, πολὺ μάλιςα αὐτὸς ἐξεπόνει καὶ τὴν ἐγκράτειαν καὶ τὰς πολεμικὰς τέχνας καὶ τὰς μελέτας.

Τοιȣ̃τος γίνȣ περὶ τȣ̀ς γονεῖς, οἵȣς ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τȣ̀ς σαυτȣ̃ παῖδας.

Τὰ περὶ τȣ̀ς θεȣ̀ς εὐσεβȣ̃μεν, καὶ τὴν δικαιοσύνην ἀσκȣ̃μεν, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν, ȣ̓χ ἵνα τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείςων ἀγαθῶν τὸν βίον διάγωμεν.

Ἀλέξανδρος ὁ Πριάμȣ (Πάρις) ἐνόμιζεν ȣ̓δὲν ἂν κάλλιον κτῆμα καταλιπεῖν τοῖς παισὶν, ἢ παρασκευάσαι αὐτοῖς, ὅπως καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς ἀπὸ Διὸς ἔσονται γεγονότες.

Εἰ ἀμελῆσαι δόξαιμεν τὸν εὐεργέτην, πρὸς τῶν θεῶν, ποίοις λόγοις ἄλλȣς πείθοιμεν ἂν χαρίζεσθαί τι ἡμῖν;

Χρηςȣ̃ πρὸς ἀνδρὸς μηδὲν ὑπονόει κακόν.

Πρὸς ἀνδρός ἐςι νȣ̃ν ἔχοντος, μετακυλινδεῖν αὐτὸν ἀεὶ πρὸς τὸν εὐπράττοντα τοῖχον.

Πρὸς τῷ ναῷ ἐν Δελφοῖς πȣ γεγραμμένον ἐςὶ τὸ Γνῶθι σαυτόν.

Δίκην μὲν ȣ̃ν δικάζοντα, δεῖ μήτε πρὸς ἔχθραν τινὰ, μήτε πρὸς χάριν ἀκȣ́ειν, ἀλλ' ἀπὸ γνώμης πρὸς τὸ δίκαιον.

Πεπαιδευμένων γάρ ἐςι καὶ σωφρόνων ἀνδρῶν, πρός τε τὰς δοκȣ́σας εὐτυχίας τὸν αὐτὸν εἶναι, καὶ πρὸς τὰς ἀτυχίας φυλάξαι τὸ πρέπον.

Ὁ Φίλιππος μέλλων καταςρατοπεδεύειν ἐν χωρίῳ καλῷ, καὶ πυθόμενος, ὅτι χόρτος ȣ̓κ ἔςι τοῖς ὑποζυγίοις, οἷος, εἶπεν, ἡμῖν ὁ βίος ἐςὶν, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν.

Μένανδρος ὀρθῶς· Ἔχω πολλὴν ȣ̓σίαν, καὶ πλȣ́σιος καλȣ̃μ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' ȣ̓δενός.

Ἤδη πολλοὶ καὶ δεσπόται βίᾳ ὑπὸ τῶν δȣ́λων ἀπέθανον.

Πολλοὶ, οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν, τȣ́τοις δȣ́λοις μᾶλλον βȣληθέντες ἢ φίλοις χρῆσθαι, ὑπ' αὐτῶν τȣ́των δίκην ἔδοσαν.

Καίτοι καλὸν μὲν δοκεῖ εἶναι τείχη ἀνάλωτα κτᾶσθαι ὑπὸ πολεμίων, πολὺ μέντοι ἔγωγε κάλλιον κρίνω τὸ τὴν αὐτȣ̃ ψυχὴν ἀνάλωτον κατασκευάσαι καὶ ὑπὸ χρημάτων καὶ ὑπὸ ἡδονῶν καὶ ὑπὸ φόβȣ.

Οἱ κατὰ τὴν Ἀσίαν ὑπὸ βασιλεῖ ὄντες, θεραπεύȣσί τε τὰς τῶν ἀρχόντων θύρας.

Πάντες ἴσασι τὰς πόλεις, τὰς ὑφ᾽ ἑτέροις γιγνομένας, ὅτι πλεῖϛον χρόνον τȣ́τοις παραμένȣσιν, ὑφ᾽ ὧν ἐλάχιϛα κακὰ πάσχȣσαι τυγχάνȣσιν.

Τελευτήσαντος τȣ̃ Μάρκȣ, ȣ̉δεὶς ἦν ἀνθρώπων τῶν ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν, ὃς ἀδακρυτὶ τοιαύτην ἀγγελίαν ἐδέχετο.

Πάνυ θαυμαϛὸν ἐδόκει εἶναι τῷ Κύρῳ, εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς ἑαυτȣ̃ τέχνης ἕκαϛος τῶν ἐργαλείων τὰ ὀνόματα· ὁ δὲ ϛρατηγὸς ȣ̔́τως ἠλίθιος ἔσοιτο, ὥϛε ȣ̉κ εἴσεται τῶν ὑφ᾽ αὐτὸν ἡγεμόνων τὰ ὀνόματα, οἷς ἀνάγκη ἐϛὶν αὐτῷ ὀργάνοις χρῆσθαι.

Τῶν ὑπὸ αὐλὸν ᾀδόντων αἱ πολλαὶ τȣ̀ς ἀκȣ́οντας ἁμαρτίαι διαφεύγȣσιν.

Elfter Abschnitt.

Conjunktionen.

Ἀρχύτας ὁ Ταραντῖνος ἐπανελθὼν ἀπὸ τȣ̃ πολέμȣ (ϛρατηγῶν δὲ ἐτύγχανε) γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς· Ὤιμωξας ἄν, ἔφησεν, εἰ μὴ λίαν ὠργιζόμην.

Εἶπε Θεμιϛοκλῆς, ὁπηνίκα φυγὼν ἔτυχε δωρεῶν μεγάλων παρὰ βασιλέως καὶ τρεῖς πόλεις ὑποφόρȣς ἔλαβεν, Ὦ παῖδες ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα· τȣ̃το περὶ τῶν ἁλόντων ὑπ᾽ Ἀλεξάνδρȣ δικαιότερόν ἐϛιν εἰπεῖν· Οὐκ ἂν ἡμερώθησαν, εἰ μὴ ἐκράθησαν, ȣ̉κ ἂν εἶχεν Ἀλεξάνδρειαν Αἴγυπτος &c.

Ὀλίγοι μὲν ἐκ πολλῶν εἰσιν οἱ παῤῥησιάζεσθαι μᾶλλον, ἢ χαρίζεσθαι, τοῖς φίλοις τολμῶντες· ἐν δὲ τοῖς ὀλίγοις

αὖθις ἐ ῥᾳδίως ἂν εὕροις ἐπιςαμένες τἔτο ποιεῖν, ἀλλ' οἰομένες, ἂν λοιδορῶσι καὶ ψέγωσι, παῤῥησίᾳ χρῆσθαι.

Ναὶ μὰ Δία ὁρμῷντο ἂν θᾶττον ὅποι δέοι, τιμῆς ὀρεγόμενοι, καὶ χρήματα θᾶσσον εἰσφέροιεν, ὁπότε τἔτε καιρὸς εἴη· καὶ ἡ γεωργία αὐτὴ ἂν πολὺ ἐπιδοίη, εἴ τις ἆθλα προτιθείη τοῖς κάλλιςα τὴν γῆν ἐργαζομένοις.

Πάντες οἱ τῶν ἀρίςων Περσῶν παῖδες ἐν ταῖς βασιλέως θύραις παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ' ἐδὲν ἔτε ἀκἔσαι, ἔτ' ἰδεῖν ἐςιν.

Ἡ τῶν μελισσῶν ἡγεμὼν ἐν τῷ σμήνει μένεσα, ἐκ ἐᾷ ἀργὲς τὰς μελίσσας εἶναι· ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι, ἐκπέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάςη εἰσφέρῃ, οἶδέ τε καὶ δέχεται, καὶ σώζει ταῦτα ἐς' ἂν δέῃ χρῆσθαι.

Δεῖ τὲς ἀγαθὲς ἄνδρας φέρειν, ὅτι ἂν ὁ θεὸς διδῷ, γενναίως.

Ἄγις ἐρωτηθεὶς πῶς ἄν τις ἐλεύθερος διαμένοι, θανάτε καταφρονῶν, ἔφη.

Κῦρος ὁ νεώτερος ἀνὴρ πολλἔ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ· χαλεπώτατος δ' ἐχθρὸς, ᾧ ἂν πολέμιος ᾖ.

Ὅς ἂν φιλῆται ὑπό τινων, ἡδέως μὲν τἔτον οἱ φιλἔντες παρόντα ὁρῶσιν, ἡδέως δὲ εὖ ποιἔσι, ποθἔσι δὲ ἄν πε ἀπίῃ, ἥδιςα δὲ πάλιν προσιόντα δέχονται, συνήδονται δ' ἐπὶ τοῖς αὐτἔ ἀγαθοῖς, συνεπικερἔσι δὲ ἐάν τι σφαλλόμενον ὁρῶσιν.

Ἢν πιςεύῃ τις θεὲς ἐπισκοπεύειν πάντα, ἔτε λάθρα ἔτε φανερῶς ἁμαρτήσεται.

Καλὸν γὰρ δήπε τἔτο τεκμήριον τῶν ἐπιςαμένων ὁτιἔν, ὅτι ἐπίςανται, ἐπειδὰν καὶ ἄλλον οἷοί τε ὦσιν ἀποδεῖξαι ἐπιςάμενον.

Ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἀλκὴ, ὁπόταν τις αὐτῶν ἀνῇ τὴν ἄσκησιν, ἐκ τέτε εἰς τὴν πονηρίαν πάλιν τρέπεται.

Ὡς ἐν τῷ πυρέττειν πικρὰ πάντα καὶ ἀηδῆ φαίνεται γενομένοις, ἀλλ' ὅταν ἴδωμεν ἑτέρες τὰ αὐτὰ προσφε-

ϱομένȣς καὶ μὴ δυσχεραίνοντας, ȣ̓κέτι τὸ σιτίον ȣ̓δὲ τὸ ποτὸν, ἀλλ᾽ αὐτȣ̀ς αἰτιώμεθα καὶ τὴν νόσον· ȣ̔́τω καὶ τοῖς πράγμασι παυσόμεθα μεμφόμενοι καὶ δυσχεραίνοντες, ἂν ἑτέρȣς τὰ αὐτὰ προσδεχομένȣς ἀλύπως καὶ ἱλαρῶς ὁρῶμεν.

Μάλιϛα ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθῃς, ὅτι καὶ τὰς ἡδονὰς τὰς ἐκ τȣ́των μάλιϛα γνησίως ἔχομεν.

Οὐ μόνον τοῖς ἀϛοῖς ἐχρῶντο Ἀθηναῖοι πρὸς τὰς ἀρχὰς καὶ τὰς ϛρατηγίας ἐπιτηδείοις, ἀλλὰ γὰρ καὶ ξένȣς προηρȣ̃ντο, καὶ τὰ κοινὰ αὐτοῖς ἐνεχείριζον, εἴπερ ȣ̔̃ν αὐτȣ̀ς ἀγαθȣ̀ς ὄντας κατέγνωσαν, καὶ ἐπιτηδείȣς εἰς τὰ τοιαῦτα.

Τὸ ζῆν ὡς βȣ́λεταί τις τῆς ἐλευθερίας ἔργον εἶναι φασὶν, εἴπερ τȣ̃ δȣ́λȣ ὄντος (ἔργον ἐϛὶ) τὸ ζῆν μὴ ὡς βȣ́λεται. Ἡμᾶς δὲ, εἴπερ ἀξιȣ̃μεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν ὅ τι πλείϛȣ ἄξιον φαίνεται εἶναι.

Ἀμφισβητεῖται περὶ τὸν εὐδαίμονα, εἰ δεήσεται φίλων, ἢ μή;

Ὁ Κροῖσος τὸν Σόλωνα ἠρώτησεν, εἴ τινα εἶδεν ἀνθρώπων αὐτȣ̃ μακαριώτερον.

Κριτίας καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει συνήϛην, ἐδυνάσθην, ἐκείνῳ χρωμένω συμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνȣ δ᾽ ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν, ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ᾽ αὖ διαθρυπτόμενος, ἠμέλησεν αὐτȣ̃.

Ἕως ἂν τὸ σῶμα ἔχωμεν, καὶ ξυμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τȣ̃ τοιȣ́τȣ κακȣ̃, ȣ̓ μήποτε κτησόμεθα ἱκανῶς ȣ̔̃ ἐπιθυμȣ̃μεν· φαμὲν δὲ, τȣ̃το εἶναι τὸ ἀληθές.

Σόλων, γέρων ἤδη ὢν, ὑπώπτευε Πεισίϛρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν εἰς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων, καὶ ᾔτει φρȣρὰν Πεισίϛρατος.

Ἰσοκράτης μικρȣ̃ τρεῖς ὀλυμπιάδας ἀνήλωσεν, ἵνα γράψῃ τὸν πανηγυρικὸν λόγον.

Ξενοκράτην, πεντήκοντα τάλαντα δωρεὰν Ἀλεξάνδρȣ πέμψαντος, ὅτι ȣ̓κ ἔλαβε, θαυμάζομεν· τὸ δὲ δȣ̃ναι, ȣ̓;

ἐκ ἐδεῖτο πλέτε Ξενοκράτης, διὰ Φιλοσοφίαν, Ἀλέξανδρος δ' ἐδεῖτο διὰ Φιλοσοφίαν, ἵνα τοιέτοις χαρίζηται.

Ὅπως καὶ οἱ βασιλεῖς τῶν Λακεδαιμονίων ἔξω σκηνοῖεν, σκηνὴν αὐτοῖς δημοσίαν ἀπέδειξεν ὁ Λυκῆργος, καὶ διμοιρία γε ἐπὶ τῷ δείπνῳ ἐτίμησεν, ἐχ ἵνα διπλάσια καταφάγοιεν, ἀλλ' ἵνα καὶ ἀπὸ τῆδε τιμῆσαι ἔχοιεν, εἴ τινα βέλοιντο.

Ῥοιὰν ἐπὶ λίκνε μεγίστην ὁ Μίσης Ἀρταξέρξῃ τῷ βασιλεῖ ἐλαύνοντι τὴν Περσίδα προσεκόμισεν· ὁ βασιλεὺς δῶρα μὲν αὐτῷ βασιλικὰ ἔπεμψε, καὶ ἐπεῖπε, νὴ τὸν Μίθραν, ἀνὴρ ὅτος ἐκ τῆς ἐπιμελείας ταύτης δυνήσεται καὶ πόλιν ἐκ μικρᾶς μεγάλην ποιῆσαι.

Ὁ Ἀςυάγης ἐπισκώπτων ἔφη, Καὶ τί δὴ, ὦ Κῦρε, τὰ ἄλλα μιμέμενος τὸν Σάκαν, ἐκ ἀπεῤῥόφησας τε οἴνε; Ὅτι νὴ Δί', ἔφη, ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη.

Καὶ ὁ Ἀςυάγης εἶπεν· Ὁ σὸς πατὴρ, ἔφη, ὦ παῖ, πίνων ἐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη· Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται.

Οὐδεὶς ὅτε πλάςης, ὅτε γραφεὺς, τῶν Διὸς θυγατέρων εἴδη παρέςησεν ἡμῖν ὡπλισμένα. Ὁμολογεῖ δὲ τῦτο, ὅτι δεῖ τὸν ἐν Μέσαις βίον, εἰρηνικόν τε ἅμα καὶ πρᾷον εἶναι.

Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα, καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις. Ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βελεύσῃ.

Σταγειριτῶν νόμος ὅτος καὶ πάντη ἑλληνικός· Ὃ μὴ κατέθε, φησὶ, μὴ λάμβανε.

Ἐκέλευεν ὁ Φίλιππος τὸν Ἀλέξανδρον Ἀριςοτέλει προσέχειν καὶ φιλοσοφεῖν, ὅπως, ἔφη, μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ' οἷς ἐγὼ πεπραγμένοις μεταμέλομαι.

Φιλίππε ψάλτην τινὰ βελομένε παρὰ δεῖπνον ἐπανορθῦν καὶ λαλεῖν περὶ κρεμάτων, ὁ ψάλτης, Μὴ γένοιτό σοι, εἶπεν, κακῶς ὅτως, ὦ βασιλεῦ, ἵνα ταῦτα ἐμῦ βέλτιον εἰδῇς.

Σωκράτης ἰδὼν κατὰ τὴν ἀρχὴν τῶν Τριάκοντα τὰς

ἐνδόξες ἀναιρεμένες, καὶ βαρύτατα τὲς πλετἕντας ὑπὸ τῶν τυράννων ἐπιβελευομένες, Ἀντισθένει φασὶ περιτυχόντα εἰπεῖν· Μή τί σοι μεταμέλει, ὅτι μέγα καὶ σεμνὸν ἐδὲν ἐγενόμεθα ἐν τῷ βίῳ;

Καθ' ἑκάςην πρᾶξιν ἐρώτα σεαυτὸν, Πῶς μοι αὕτη ἔχει; Μὴ μετανοήϛω ἐπ' αὐτῇ;

Ἀντισθένης ἐπαινέμενός ποτε ὑπὸ πονηρῶν, ἔφη. Ἀγωνιῶ μή τι κακὸν εἴργασμαι.

Ξενοφῶν· Ἀλλὰ γὰρ δέδοικα, μὴ, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν, καὶ ἐν ἀφθόνοις βιωτεύειν, μὴ, ὥσπερ οἱ λωτοφάγοι, ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδȣ̃.

Παρήγγελλε Πυθαγόρας φεύγειν ἀργίαν, καὶ προνοεῖν, ὅπως τὴν ἀναγκαίαν παρασκευάσωμεν τροφήν.

Ὁ Λυκȣ̃ργος τοῖς γε μὴν τὴν ἡβητικὴν ἡλικίαν πεπερακόσι νόμιμον ἐποίησε, κάλλιςον εἶναι τὸ θηρᾶν, εἰ μή τι δημόσιον κωλύοι, ὅπως δύναιντο καὶ ἦτοι μηδὲν ἧττον τῶν ἡβώντων ςρατιωτικὲς πόνες ὑποφέρειν.

Ἔδωκεν ὁ Λυκȣ̃ργος τῷ παιδονόμῳ καὶ τῶν ἡβώντων μαςιγοφόρες, ὅπως τιμωροῖεν, ὅτε δέοι. Ὥςε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθῶ ἐκεῖ συμπαρεῖναι.

Οἱ ἀπαίδευτοι, ὅταν περί τε ἀμφισβητῶσιν, ὅπη μὲν ἔχει, περὶ ὧν ἂν ὁ λόγος ᾖ, ἐ φροντίζεσιν, ὅπως δὲ, ἃ αὐτοὶ ἔθεντο, ταῦτα δόξει τοῖς παρȣ̃σι, τȣ̃το προθυμȣ̃νται.

Ὥσπερ τὸν ποιμένα ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶαί τε ἔσονται αἱ ὄϊες, καὶ τὰ ἐπιτήδεια ἕξεσιν, ἔτω καὶ τὸν ςρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ ςρατιῶται ἔσονται, καὶ τὰ ἐπιτήδεια ἕξεσι, καὶ ȣ̃ ἕνεκα ςρατεύονται, τȣ̃το ἔςαι· ςρατεύονται δὲ, ἵνα κρατȣ̃ντες τῶν πολεμίων εὐδαιμονέςεροι ὦσιν.

Τότε ἄριςα πράττεσιν αἱ πόλεις, ὅτε σώφρονες ἄνδρες πολιτεύονται.

Ὁ Ζεῦξις ὁ Ἡρακλεώτης, ὅτε τὴν Ἑλένην ἔγραψε, πολλὰ ἐχρηματίσατο ἐκ τέτε τȣ̃ γράμματος. Οὐ γὰρ εἰκῇ, καὶ ὡς ἔτυχε, τὲς βελομένες ἀνέδην εἴα ὁρᾶν αὐτὴν, ἀλλ' ἔδει ῥητὸν ἀργύριον καταβαλεῖν, εἶτα ἔτω θεάσασθαι.

Ἐν

Ἐν Χαιρωνείᾳ τὲς Ἀθηναίες νίκῃ ἐνίκησε Φίλιππος. Ἐπαρθεὶς δὲ τῇ εὐπραγίᾳ, ὅμως λογισμῷ ἐκράτησε, καὶ ἐχ ὕβρισε. Καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐςι· καὶ προσέταξε τῷ παιδὶ τῦτο ἔχειν ἔργον.

Ὅταν ὀργισθῇς, μηδὲν εἴπῃς, μηδὲ ποιήσῃς πρότερον (πρὶν) ἢ τὰ εἴκοσι καὶ τέσσαρα γράμματα διελθεῖν πρὸς ἑαυτόν.

Δεῖ μιμεῖσθαι τὲς Πυθαγορικὲς, οἳ εἴποτε προαχθεῖεν εἰς λοιδορίας ὑπ' ὀργῆς, πρὶν ἢ τὸν ἥλιον δῦναι, τὰς δεξιὰς ἐμβαλόντες ἀλλήλοις καὶ ἀσπασάμενοι διελύοντο.

Ὡς εὐκόλως πίπτεσιν αἱ λαμπραὶ τύχαι.

Διέβαλε Τιμόθεος τὰ πολυτελῆ δεῖπνα, καὶ φορτικὰ, ὡς πάντως εἰς τὴν ὑςεραίαν ἐκ εὐφραίνοντα.

Οἴει δ' ἂν τὲς θεὲς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν;

Θαυμαςὸν φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τὲς νέες διέφθειρεν, ὃς πάντων ἀνθρώπων ἐγκρατέςατος ἦν.

Κρίτων τῷ Σωκράτει· Λέγει ὁ μέλλων σοι δώσειν τὸ φάρμακον, ὅτι χρή σοι φράζειν ὡς ἐλάχιςα διαλέγεσθαι.— Ἔα, ἔφη, χαίρειν αὐτὸν, ἀλλὰ μόνον τὸ ἑαυτῦ παρασκευαζέτω, ὡς καὶ δὶς δώσων· ἐὰν δὲ δέῃ, καὶ τρίς.

Οὕτω ζῆν προαιρῦ, ὡς μήτε ὑπὸ τῶν δυνατωτάτων καταφρονεῖσθαι, μήτε τοῖς καταδεεςέροις φοβερὸς εἶναι.

Ξενοφῶν ἐςαλμένος ἦν εἰς πόλεμον ὡς ἐδύνατο κάλλιςα· νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοὶ, τὸν κάλλιςον κόσμον τῷ νικᾷν πρέπειν· εἴτε τελευτᾷν δέοι, ὀρθᾶς ἔχειν, τῶν καλλίςων ἑαυτὸν ἀξιώσαντα, ἐν τέτοις τῆς τελευτῆς τυγχάνειν.

Ἐπειδὴ ἀθάνατος φαίνεται ἐσα ἡ ψυχὴ, ἐδεμία ἂν εἴη αὐτῇ ἄλλη ἀποφυγὴ κακῶν, πλὴν τῦ ὡς βελτίςην τε καὶ φρονιμωτάτην γενέσθαι.

Ξενοκράτης τοῖς παισὶ μᾶλλον, ἢ τοῖς ἀθληταῖς, ἐκέλευε περιάπτειν ἀμφωτίδας, ὡς ἐκείνων μὲν τὰ ὦτα ταῖς πληγαῖς, τέτων δὲ τοῖς λόγοις τὰ ἤθη διαςρεφομένων.

Τὸν Ἑρμῆν ταῖς χάρισιν οἱ παλαιοὶ συγκαθίδρυσαν, ὡς μάλιςα τȣ̃ λόγȣ τὸ συγκεχαρισμένον καὶ προσφιλὲς ἀπαιτȣ̃ντος.

Εὔχετο ὁ Σωκράτης πρὸς τȣ̀ς θεȣ̀ς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τȣ̀ς θεȣ̀ς κάλλιςα εἰδότας, ὁποῖα ἀγαθὰ ἐςιν.

Οὕτω πειρῶ ζῆν, ὡς καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος.

Vermischte Sätze, moralischen und historischen Inhalts, zu weiterer Uebung in den Gräcismen.

Πάντα ἔτω προνοητικῶς πεπραγμένα, ἀπορεῖς, πότερον τύχης ἢ γνώμης ἔργα ἐςίν; — Οὐ μὰ τὸν Δί', ἀλλ' ἔτω γε σκοπεμένῳ πάνυ ἔοικε ταῦτα σοφῦ τινος δημιεργῦ καὶ φιλοζώε τεχνήματι.

Ἐννόει δὲ, ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος ἐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾷν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. Καὶ τὲς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται, δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ, ὁρᾶται δ' ἔτ' ἐπιὼν, ἔτε κατασκήψας ἔτε ἀπιών.

Καὶ ἄνεμοι αὐτοὶ μὲν ἐχ ὁρῶνται, ἃ δὲ ποιῦσι φανερὰ ἡμῖν ἐςι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. Ἀλλὰ μὴν καὶ ἀνθρώπε γε ψυχὴ, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων, τῦ θείε μετέχει, (ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν, φανερὸν) ὁρᾶται δ' ἐδ' αὐτή. Ἃ χρὴ κατανοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾷν τὸ δαιμόνιον.

Πολλὴν δεῖ πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν. Δίκαιον προνοεῖν ἅπαντας, ὅπως τὰ πρὸς τὲς θεὲς εὐσεβῶς ἔχει. Οὐδείς ἐςιν, ὅςις ἐ τῶν ἐπιτηδευμάτων προκρίνει τὴν εὐσέβειαν τὴν περὶ τὲς θεές.

Μηδὲν περὶ πλείονος ἡγεῖσθαι δεῖ μετὰ τὴν περὶ Θεὸν εὐσέβειαν, τῦ παρὰ τοῖς ἀγαθοῖς εὐδοκιμεῖν. Δεῖ ἀσκεῖν εὐσέβειαν περὶ μὲν τὲς θεὲς, δικαιοσύνην δὲ περὶ τὲς ἀνθρώπες.

Ἀριςοτέλης πρὸς Ἀντίπατρον περὶ Ἀλεξάνδρε γράφων, ἔφη, μὴ μόνον ἐκείνῳ προσήκειν, ὅτι πολλῶν κρατεῖ, μέγα φρονεῖν, ἀλλ' ἐδὲν ἧττον, εἴ τις ὀρθῶς γινώσκει περὶ θεῶν.

Ὀργὴ θεȣ̃ ἀλλότριον· ἐπ' ἀβȣλήτοις γὰρ ἡ ὀργή· θεῷ δὲ ȣ̓δὲν ἀβȣ́λητον. Δυνατὸν τῷ θεῷ καὶ ἐξ ἀπόρων πόρον εὑρεῖν. Τῷ πονȣ̃ντι καὶ θεὸς συλλαμβάνει, φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν.

Τοσαύτην τιμὴν ὁ θεὸς ἀνθρώποις χαρίζεται, ὡς καὶ προσευχῆς ἀξιῶσαι καὶ ὁμιλίας τῆς ἑαυτȣ̃. Πᾶς ὁ προσευχόμενος τῷ θεῷ διαλέγεται.

Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτȣργίας, ὅμοιόν τι ποιȣ̃σι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβȣ̃σιν.

Περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει ὁ Σωκράτης· Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; Καὶ ὅς, Κάλλιϛον, νὴ Δί', ἔφη. Ἔχεις ȣ̓̃ν εἰπεῖν, ὁποῖός τις ὁ εὐσεβής ἐϛιν; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τȣ̀ς θεȣ̀ς τιμῶν.

Ἔξεϛι δὲ, ὃν ἂν τις βȣ́ληται τρόπον, τȣ̀ς θεȣ̀ς τιμᾷν; Οὐκ· ἀλλὰ νόμοι εἰσὶ, καθ' ȣ̓̀ς δεῖ τȣ̃το ποιεῖν. Οὐκȣ̃ν ὁ τȣ̀ς νόμȣς τȣ́τȣς εἰδὼς, εἰδείη ἂν, ὡς δεῖ τȣ̀ς θεȣ̀ς τιμᾷν; Οἶμαι ἔγωγ' ἔφη. Ἆρ' ȣ̓̃ν ὁ εἰδὼς τȣ̀ς θεȣ̀ς τιμᾷν, ȣ̓κ ἄλλως οἴεται δεῖν τȣ̃το ποιεῖν, ἢ ὡς οἶδεν; Οὐ γὰρ ȣ̓̃ν, ἔφη.

Ἱερόν ἐϛιν ἀρετῆς ἐν Ῥώμῃ τιμώμενον, ὃ Οὐϊρτȣ̃τις αὐτοὶ καλȣ̃σιν, ἀλλ' ὀψὲ καὶ μετὰ πολλȣ̀ς χρόνȣς ἱδρυθὲν, ὑπὸ Μαρκέλλȣ τȣ̃ Συρακȣ́σας ἑλόντος. Ἔϛι δὲ καὶ γνώμης, ἢ Εὐβȣλίας νεὼς, ἣν Μέντεμ καλȣ̃σιν — σοφίας δὲ ἱερὸν ȣ̓κ ἔχȣσιν, ȣ̓δὲ σωφροσύνης, ȣ̓δὲ μεγαλοψυχίας· ἀλλὰ τά γε τῆς τύχης ἱερὰ πάμπολλα καὶ παλαιὰ καὶ λαμπρὰ τιμαῖς πᾶσι.

Ὥσπερ ȣ̓χ ὅμοια πρόσωπα προσώποις, ȣ̈́τως ȣ̓δὲ διάνοιαι τῶν ἀνθρώπων. Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ ἐλευθέριον καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον καὶ τὸ σωφρονητικόν τε καὶ φρόνιμον καὶ τὸ ὑβριϛικόν τε καὶ ἀπειρόκαλον καὶ διὰ τȣ̃ προσώπȣ καὶ διὰ τῶν σχημάτων καὶ ἑϛώτων καὶ κινȣμένων ἀνθρώπων διαφαίνει.

Ἀεί σε, ὦ ἄνερ, προσήκει λογίζεσθαι, τί μὲν ἦσθα πάλαι, τί δὲ γέγονας νῦν; Πολλοὶ οἴονταί τι εἶναι, ὄντες

ὀυδενὸς ἄξιοι. Μανθάνωμεν, πȢ τὸν ἄνθρωπον ἡ Φρόνησις αἴρει, καὶ τίνων ὑπεράνω ποιεῖ, καὶ πῶς κρατεῖ πάντων καὶ περίεστιν.

Ἢν ἐμοὶ πείθησθε, προσέξετε τὸν νȢν ὑμῖν αὐτοῖς. Ἂν πειθόμενοι τῷ θεῷ, καὶ τὸ Γνῶθι σαυτὸν, ὡς ἑκάστῳ τȢ παντὸς ἄξιόν ἐστι, μαθόντες, ἅμα καὶ Φύσιν ἑαυτῶν ἀναθεωρῶμεν — ὀ πάνυ ῥᾳδίως ἐμπεριπατεῖν τοῖς κόλαξιν ἑαυτȢς παρέξομεν.

Τὸ εἰδέναι τινὰ ὅτ' ἀγνοεῖ, σοφίας ἐστὶν, ὡς καὶ τὸ εἰδέναι, ὅτι ἠδίκησε, δικαιοσύνης.

Ὡς ἐν τοῖς ὄμμασι τῶν πλησίων ἐλλάμποντα τὰ ἑαυτῶν ὁρῶμεν· ὅτως ἐπὶ τῶν λόγων δεῖ τȢς ἑαυτῶν ἐνεικονίζεσθαι τοῖς ἑτέρων, ἵνα μήτ' ἄγαν θρασέως καταφρονῶμεν ἄλλων, αὐτοῖς τε προσέχωμεν ἐν τῷ λέγειν ἐπιμελέστερον.

Ἐρωτηθεὶς ὁ Θαλῆς πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν, ἐὰν, ἔφη, ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν. Τὸ τȢ Πλάτωνος ὀκ ὀκνητέον ἀεὶ πρὸς αὐτὸν ἐπὶ τῶν ἁμαρτανόντων ἀναφθέγγεσθαι· Ἦ πȢ ἆρ' ἐγὼ τοιȢτος. Οὐκ οἶσθ', ὅτι χρὴ τȢς μέλλοντας διδάσκειν ὁτιȢν, αὐτȢς πρῶτον εἰδέναι; εἰ ὀ;

Ἀπαιδεύτȣ ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένȣ [1] παιδεύεσθαι, τῷ αὐτῷ· πεπαιδευμένȣ, τὸ μήτ' ἄλλῳ μήθ' ἑαυτῷ.

Ὁ λοιδορῶν ἕτερον, οἷς αὐτὸς ἔνοχός ἐστιν, ὀ λανθάνει λοιδορῶν μᾶλλον ἑαυτὸν, ἢ ἐκεῖνον. Οὐ τὸ συμβὰν σκεπτέον, ἀλλὰ τὴν τȢ δεδρακότος διάνοιαν. Ὑμεῖς ὀκ αἰσχύνεσθε ταῦτα ποιȢντες, ἃ διατελεῖτε ἄλλοις ἐγκαλȢντες.

Ὥσπερ ἔργον ἐστὶν εὑρεῖν ἰχθὺν, ἄκανθαν μὴ ἔχοντα, ὅτω καὶ ἄνθρωπον, μὴ κεκτημένον τι δολερὸν καὶ ἀκανθῶδες.

Ὁ πάντα θαυμάζων, καὶ πᾶσιν ἐξοικειȣμενος, καὶ καταδεδȣλωμένος τῇ δόξῃ τὴν κρίσιν ὑπὸ τῶν ἡρωϊκῶν ὀνομάτων, ὥσπερ οἱ τὴν Πλάτωνος ἀπομιμȣμενοι κυρτότητα, καὶ τὴν Ἀριστοτέλȣς τραυλότητα, λήσεται πρὸς πολλὰ τῶν Φαύλων εὐχερὴς γενόμενος.

---

1 ἄρχομαι.

Ἐκεῖνο δὲ ȣ̓ φανερὸν, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτȣ̀ς πλεῖςα ἀγαθὰ πάσχȣσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν πλεῖςα κακά· οἱ μὲν γὰρ εἰδότες ἑαυτȣ̀ς τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκȣσιν ἅ τε δύνανται καὶ ἃ μή· καὶ ἃ μὲν ἐπίςανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττȣσιν· ὧν δὲ μὴ ἐπίςανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται, καὶ διαφεύγȣσι τὸ κακῶς πράττειν· διὰ τȣ̃το δὲ καὶ τȣ̀ς ἄλλȣς (ἀνθρώπȣς) δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται, καὶ τὰ κακὰ φυλάττονται.

Οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως πρός τε τȣ̀ς ἄλλȣς ἀνθρώπȣς καὶ τἄλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται· καὶ ȣ̓́τε ὧν δέονται ἴσασιν, ȣ̓́τε ὅ τι πράττȣσιν, ȣ̓́τε οἷς χρῶνται, ἀλλὰ πάντων τȣ́των διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνȣσι, καὶ τοῖς κακοῖς περιπίπτȣσι.

Σιμωνίδης, ὁ τῶν μελῶν ποιητὴς, Παυσανίȣ, τȣ̃ βασιλέως τῶν Λακεδαιμονίων, μεγαλαυχȣμένȣ συνεχῶς ἐπὶ ταῖς αὑτȣ̃ πράξεσι, καὶ κελεύοντος ἀπαγγεῖλαί τι αὐτῷ σοφὸν μετὰ χλευασμȣ̃, συνεὶς αὐτȣ̃ τὴν ὑπερηφανίαν, συνεβȣ́λευε μεμνῆσθαι, ὅτι ἄνθρωπός ἐςι. τȣ̃το παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας, καὶ παρ' ȣ̓δὲν ἔθετο.

Ἐπεὶ δὲ διεπάλαιε τῷ λιμῷ ὁ Παυσανίας καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, ἀλλὰ τηνικαῦτα ἐμνήσθη τȣ̃ Σιμωνίδȣ, καὶ ἐξεβόησεν εἰς τρίς· Ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σȣ (Μέμνησο ἄνθρωπος ὤν) ἐγὼ δὲ ὑπ' ἀνοίας ȣ̓δὲν αὐτὴν ᾤμην εἶναι.

Οὐκ ἂν αἰσχυνθείην εἰπὼν, ὅτι πολλὰ μαθεῖν αὐτὸς ἔτι δέομαι. Διογένης πρὸς τὸν εἰπόντα, Ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν, Τί ȣ̓̃ν, ἔφη, ζῇς, εἰ τȣ̃ καλῶς ζῆν μὴ μέλει σοι.

Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τȣ̀ς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένȣς. Αἴσχρὸν τȣ̀ς μὲν ἐμπόρȣς τηλικαῦτα πελάγη διαπερᾷν, ἕνεκα τȣ̃ πλείω ποιῆσαι τὴν ὑπάρχȣσαν ȣ̓σίαν· τȣ̀ς δὲ νεωτέρȣς μηδὲ τὰς κατὰ γῆν

πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτοῦ διάνοιαν.

Δεῖ τὸν ἐν Μούσαις βίον εἰρηνικόν τε ἅμα, καὶ πρᾶον εἶναι, καὶ ἄξιον ἐκείνων. Λέγεται Δημοσθένης κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον· ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἐξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

Ὥσπερ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρήσιμα λαμβάνουσαν· οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν.

Ἐπὶ πᾶσι τοίνυν καὶ τὸ τὴν αἰτίαν ἑκάστου τῶν λεγομένων ἐπιζητεῖν χρήσιμόν ἐστιν· ὁ μὲν γὰρ Κάτων ἔτι παιδάριον ὤν, ἔπραττε μὲν, ὃ προστάξειεν ὁ παιδαγωγὸς, αἰτίαν δὲ καὶ λόγον ἀπῄτει τοῦ προστάγματος.

Ὁ Νικήρατος εἶπεν· Ὁ πατὴρ, ὁ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην, ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη μαθεῖν. Καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν.

Πόσον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζώων δυνάμεως; λέγω δὲ, οἷον ἐλεφάντων καὶ ταύρων καὶ λεόντων· παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Καὶ δύω τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος· καὶ ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου· ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ· μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ· καὶ ὁ χρόνος τἆλλα πάντ' ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην.

Λέγω δὲ, ὡς εἰ καὶ μηδὲν ἄλλο δυνήσεται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθὸν, ἀλλ' οὖν ἀποτρέπει γε τοὺς νεωτέρους τῶν ἁμαρτημάτων. Πείσωμεν τοὺς νεωτέρους ἀμελήσαντας τῶν ἡδονῶν, ἐν ἀστρονομίᾳ, καὶ λογισμοῖς καὶ γεωμετρίᾳ διατρίβειν. Ὡς τῆς παιδεύσεως δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην. Χίλων ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, Ἐλπίσιν ἀγαθαῖς.

Ἡ φιλοσοφία τῶν συμφορῶν τάς τε δί ἀμαθίαν, καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διαιρεῖ, καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγκεῖν διδάσκει. Ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐςίν· εὖ δ' ἴσθι, τὴν ἐμπειρίαν γενομένην ἐκ τῶν πράξεων.

Ἑλληνικὸν καὶ ἀςεῖον ἡ πρόνοια, βαρβαρικὸν δὲ καὶ φαῦλον ἡ θρασύτης· καὶ δεῖ τὸ μὲν ζηλȣ̃ν, τὸ δὲ δυσχεραίνειν. Οἱ μὲν σώφρονες πρὸ τῶν πραγμάτων εἰώθασι βȣλεύεσθαι, οἱ δὲ ἄφρονες μετὰ τὰ πράγματα. Πᾶν ὅ τι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκόπει τῇ γνώμῃ. Βȣλεύȣ μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.

Δέον τὰ τέλη τῶν πραγμάτων ἡμᾶς προορᾷν, καὶ ȣ̃τω τὴν τȣ́των ἐγχείρησιν ποιεῖν. Πρὶν τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγȣ̃μαι, περὶ τῆς τελευτῆς ὁντινȣ̃ν ποιεῖσθαι λόγον. Δεῖ τεκμαίρεσθαι τὰ μέλλοντα ἐκ τῶν γεγενημένων. Οὐ περὶ τῶν παρεληλυθότων ἐπιμέλειαν ποιητέον μόνον, ἀλλὰ καὶ περὶ τῶν μελλόντων πρόνοιαν. Ἐὰν παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βȣλεύσῃ.

Μὴ σοφȣ̀ς νόμιζε τȣ̀ς τοῖς ἄλλοις εὐδαιμονίαν ὑπισχνȣμένȣς, αὐτȣ̀ς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας. Ὅταν ὑπὲρ σεαυτȣ̃ μέλλῃς τινὶ συμβȣλεύεσθαι, σκόπει πρότερον, πῶς ὑπὲρ τῶν αὑτȣ̃ διῴκησε.

Τὸ τοῖς πολλοῖς ἀρέσκειν, τοῖς σοφοῖς ἀπαρέσκειν ἐςίν. Ἐκεῖνοι, οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες, (χαίρειν εἰπόντες) ȣ̓ κατὰ τ' αυτὰ πορεύονται τοῖς ȣ̓κ εἰδόσιν, ὅπῃ ἔρχονται.

Ἡ γέ τοι σοφία ἀναμφισβητήτως ἀγαθόν ἐςι· ποῖον γὰρ ἄν τις πρᾶγμα ȣ̓ βέλτιον πράττοι σοφὸς ὢν, ἢ ἀμαθής; Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται, τύχη δὲ φρόνησιν ȣ̓ ποιεῖ.

Ἐνίοτε οἱ κακῶς πράττοντες ἄμεινον περὶ τῶν πραγμάτων, τῶν εὖ πραττόντων βȣλεύονται. Ἑνὸς ἀνδρὸς εὖ φρονήσαντος, πολλοὶ ἂν ἀπολαύσειαν οἱ βȣλόμενοι κοινωνεῖν ἐκείνȣ διανοίας.

Νόμος ὁ τῆς Φύσεως αὐτὸς ἅπασιν ὥρισαι τοῖς ἀνθρώποις καὶ θηρίοις, ςέργειν τȢς γονεῖς. Νόμος ἐςὶ τοῖς ἀνθρώποις ὑπὸ τῆς Φύσεως κείμενος, παῖδας πατέρων ἀδικȢμένων ὑπερμαχεῖν, καὶ δεσποτῶν οἰκέτας. Τὸν ἀμελȢ̃ντα τῶν γονέων, ἐγὼ ἄπιςον, καὶ θεοῖς ἐχθρὸν Ȣ̓ μόνον ἀνθρώποις ὑπολαμβάνω.

Χαλεπὸν πατρὶ καὶ μητρὶ παίδων ςερηθῆναι, καὶ ἐρήμοις εἶναι τῶν οἰκειοτάτων γηροτρόφων.

ΟἵȢς ἂν ἐράνȢς ἐνέγκῃς τοῖς γονεῦσι, τοιȢ́τȢς αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχȢ. Οὐ μεῖζον ἐπίδειξις ἀθέȢ γέγονε τῆς περὶ γονεῖς ὀλιγωρίας καὶ πλημμελείας.

Οἱ ἀπὸ τȢ̃ αὐτȢ̃ σπέρματος φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς Ȣ̓ πάντων Ȣ̃τοι οἰκειότατοι;

Ἀδελφὼ Φίλω ὄντε, καὶ πολὺ διεςῶτε πράττετον ἅμα (καὶ) τὰ ἐπ' ὠφελείᾳ ἀλλήλοιν. Ἀλλὰ πρὸς Θεῶν πατρῴων, ὦ παῖδες, λέγει ὁ Κῦρος, τιμᾶτε ἀλλήλȢς, εἴ τι καὶ τȢ̃ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν.

Πρέπει τȢ̀ς παῖδας, ὥσπερ τῆς Ȣ̓σίας, Ȣ̔́τω καὶ τῆς Φιλίας τῆς πατρικῆς κληρονομεῖν. Ἀποθανόντος γε μὴν πατρὸς ἐμφύεσθαι μᾶλλον ἢ πρότερον ὀρθῶς ἔχει τῇ εὐνοίᾳ τὸν ἀδελφόν.

Εἰώθασιν οἱ ἄνθρωποι ἐπαινεῖν τȢ̀ς ἐκ τῶν πατέρων εὐδοκιμȢ́ντων γεγονότας.

Διὰ τί δὲ, ἐὰν ἐκ πατρὸς φαύλȢ καὶ ἀνοήτȢ γεγονὼς, αὐτὸς ὢν χρηςὸς καὶ φρόνιμος, Ȣ̓ προσήκει μοι διὰ τὴν ἐμὴν ἀρετὴν μέγα φρονεῖν, ἀλλὰ καταπεπλῆχθαι καὶ ταπεινὸν εἶναι, διὰ τὴν τȢ̃ πατρὸς ἀμαθίαν;

Ὡς τῆς παιδεύσεως δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, Ȣ̔́τω διάκεισο τὴν γνώμην. Ὥσπερ δὲ παραινῶ τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι πρȢργιαίτερον, Ȣ̔́τως αὖ πάλιν φημὶ τῆς ἀδιαφθόρȢ καὶ ὑγιαινȢ́σης ἔχεσθαι· τῶν δὲ πανηγυρικῶν λήρων ὡς πόῤῥωτάτω τȢ̀ς υἱεῖς ἀπάγειν.

Τιμὴ μὲν ὁρμητικωτέρȢς πρὸς τὰ κάλλιϛα τῶν ἐπιτηδευμάτων, τιμωρία δὲ ὀκνηρȢ̀ς πρὸς τὰ φαῦλα τῶν ἔργων τȢ̀ς νέȢς ἀπεργάζεται. Δεῖται δὲ καὶ τὸ περὶ τȢ̀ς ἐπαίνȢς καθῆκον εὐλαβείας τινὸς καὶ μετριότητος, διὰ τὸ μήτε τὴν ἔλλειψιν αὐτȢ͂, μήτε τὴν ὑπερβολὴν ἐλευθέριον εἶναι. Μεγάλα βλάπτȢσι τȢ̀ς ἀξυνέτȢς οἱ ἐπαινȢ͂ντες.

Εἴ τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα, τȢ̀ς κόλακας· ἐκδιωκτέον δὲ καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας· καὶ γὰρ Ȣ̓͂τοι τὰς ἐπιεικεϛάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσίν.

Ὁ Πλάτων τȢ̀ς παρασκευάζοντας ἐν τοῖς νέοις αἰσχύνην γέροντας, αὐτȢ̀ς ἀξιοῖ πρῶτον αἰσχύνεσθαι τȢ̀ς νέȢς. Σωκράτης νομίζων ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνȢ͂σιν ἠσκηκὼς αὐτὴν μάλιϛα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιϛα τȢ̀ς συνόντας πρὸς ἐγκράτειαν.

Ἔπαυσε μὲν τῆς κακίας πολλȢ̀ς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παρασχὼν, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλȢ̀ς καὶ ἀγαθȢ̀ς ἔσεσθαι. Καίτοι γε Ȣ̓δὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τȢ́τȢ· ἀλλὰ τῷ φανερὸς εἶναι τοιȢ͂τος ὢν ἐλπίζειν ἐποίει τȢ̀ς συνδιατρίβοντας ἑαυτῷ, μιμȢμένȢς ἐκεῖνον τοιȢ́σδε γενήσεσθαι.

ΠλείϛȢς μὲν πόνȢς τοῖς νέοις ὑπέβαλεν ὁ ΛυκȢ͂ργος, πλείϛην δὲ ἀσχολίαν ἐμηχανήσατο. ΜηχανικωτέρȢς τῶν ἐπιτηδείων βȢλόμενος τȢ̀ς παῖδας ποιεῖν, καὶ πολεμικωτέρȢς, Ȣ̔́τως ἐπαίδευσεν.

Ἐν μὲν ταῖς ἄλλαις πόλεσι τῶν ἑαυτȢ͂ ἕκαϛος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχȢσιν· ὁ δὲ ΛυκȢ͂ργος, κατασκευάσαι βȢλόμενος, ὡς ἂν μηδὲν βλάπτοντες, ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθὸν, ἐποίησε, παίδων ἕκαϛον ὁμοίως τῶν ἑαυτȢ͂ καὶ τῶν ἀλλοτρίων ἄρχειν.

Εἴποι ἄν τις· Τί δῆτα, εἴπερ τὸ κλέπτειν ἀγαθὸν ἐνόμιζεν ὁ ΛυκȢ͂ργος, πολλὰς πληγὰς ἐπέβαλλε τῷ ἁλισκομένῳ; Ὅτι, φημὶ ἐγὼ, καὶ τἆλλα, ὅσα ἄνθρωποι

διδάσκυσι, κολάζυσι τὸν μὴ καλῶς ὑπηρετῦντα. Κακεῖνοι ἓν τὺς ἁλισκομένυς, ὡς κακῶς κλέπτοντας, τιμωρῦνται.

Τὰ σύμμετρα σιτία καὶ ποτὰ αὔξει καὶ σώζει τὴν ὑγίειαν. Ὁρᾷς γὰρ, ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιςα, ἐὰν μέν τις προσφέρῃ, πρὶν ἐπιθυμεῖν, ἀηδῆ Φαίνεται, κεκορεσμένοις δὲ καὶ βδελυγμίαν παρέχει· ἐὰν δέ τις προσΦέρῃ λιμὸν ἐμποιήσας, κ᾽ἂν Φαυλότερα ᾖ, πάνυ ἡδέα Φαίνεται.

Ἐθιςέον ἓν τὸ σῶμα δι᾽ εὐτελίας πρὸς εὐκολίαν, αὔταρκες ἑαυτῷ γινόμενον· οἱ γὰρ ὀλίγων δεόμενοι, πολλῶν ἐκ ἀποτυγχάνυσι. Γύμναζε σεαυτὸν πόνοις ἑκυσίοις, ὅπως ἂν δύναιο καὶ τὺς ἀκυσίυς ὑπομένειν. Τὸ σῶμα γυμνασέον τοῖς πόνοις καὶ ἱδρῶτι. Τὰ σώματα περιπατῦντες ἀσκεῖτε.

Τῆς ὑγιείας δύναμιν οἱ ἄνθρωποι παρ᾽ ἑαυτοῖς ἔχυσι. Τὸ γὰρ παρ᾽ ἰατρῦ πυνθάνεσθαι, τί δύσπεπτον, ἢ εὔπεπτον, ἢ εὐκοίλιον, ἐχ ἧττον αἰσχρόν ἐςιν, ἢ τὸ πυνθάνεσθαι, τί γλυκὺ καὶ πικρὸν καὶ αὐςηρόν. Ἤκυσα Τιβέριόν ποτε Καίσαρα εἰπεῖν, ὡς ἀνὴρ ὑπὲρ ἑξήκοντα (τριάκοντα) γεγονὼς ἔτη, καὶ προτείνων ἰατρῷ χεῖρα, καταγέλαςός ἐςιν.

Μίλωνος τῦ Κροτωνιάτυ τὴν ῥοιὰν, ἣν ἐν τῇ χειρὶ κατεῖχεν, ὐδεὶς τῶν ἀντιπάλων ἑλεῖν ἐδύνατο· ἀλλ᾽ ὗτος ὁ Μίλων ἰσχυρὸς μὲν τὸ σῶμα ἦν, ἀνδρεῖος δὲ τὴν ψυχὴν ὐκ ἦν.

Αἱ περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις συναποθνήσκυσι τοῖς σώμασιν, αἱ δὲ ἐπιςῆμαι παραμένυσιν ἅπαντα τὸν χρόνον, ὠφελῦσαι τὺς χρωμένυς αὐταῖς. Πάντες ὁμολογῦσιν, ὡς αἱ μάχαι, κρίνονται μᾶλλον ταῖς ψυχαῖς, ἢ ταῖς τῶν σωμάτων ῥώμαις.

Ἀνδρίαν ἆρα τῶν καλῶν νομίζεις εἶναι; — Κάλλιςον μὲν ὖν ἔγωγε. — Χρήσιμον ἆρα ὐ πρὸς τὰ ἐλάχιςα νομίζεις τὴν ἀνδρίαν; — Μὰ Δία, πρὸς τὰ μέγιςα μὲν ὖν.

Πολλῶν ὄντων, ἃ δεῖ φεύγειν, ἐκεῖνο μάλιϛα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι· φευκτέον τὴν μοχθηρίαν διατεταμένως, καὶ πειρατέον ἐπιεικῆ εἶναι. Φαύλȣς ἡγȣ̃, μὴ τȣ̀ς συμφερόντως ἡττωμένȣς, ἀλλὰ τȣ̀ς μετὰ βλάβης περιγιγνομένȣς.

Πολλάκις οἱ νικήσαντες ȣ̓δὲν βέλτιον πράττȣσι τῶν ἡττηθέντων. Πολλάκις γέγονεν, ὥϛε καὶ τȣ̀ς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεϛέρων κρατηθῆναι.

Τὰ τοῖς ὅπλοις ἀδύνατα χειρωθῆναι τῷ χρυσῷ ῥάδιόν ἐϛι καταπολεμῆσαι· τῷ ἀργυρίῳ γὰρ ὑποτάσσεται πάντα.

Παυσανίας θαυμαζόντων τινῶν ἐν τοῖς λαφύροις τῶν βαρβάρων τὴν πολυτέλειαν τῆς ἐσθῆτος, κρεῖσσον, ἔφη, αὐτȣ̀ς εἶναι πολλȣ̃ ἀξίȣς, ἢ κεκτῆσθαι πολλȣ̃ ἄξια.

Ἀγησίλαος ἐπιζητȣ̃ντός τινος, διατί ἀτείχιϛος ἡ Σπάρτη, ἐπιδείξας τȣ̀ς πολίτας ἐξωπλισμένȣς, ταῦτά ἐϛιν, εἶπε, τὰ Λακεδαιμονίων τείχη. Οὐ φόβῳ τρεψάμενος νίκης ἔτυχεν, ἀλλὰ μάχῃ ἀντιτύπῳ κρατήσας τρόπαιον ἐϛήσατο ὁ Ἀγησίλαος, ἀθάνατα μὲν τῆς ἑαυτȣ̃ ἀρετῆς μνημεῖα καταλιπών.

Ἡ φιλοτιμία ȣ̓δ' ἐν τοῖς ἀλόγοις ζώοις ἐμφύεται, ȣ̓τ' ἐν ἅπασιν ἀνθρώποις. Ἔοικε μέγα τι εἶναι ἡ τιμὴ, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένȣσιν.

Μὴ μεγάλων δεῖ ἐπιθυμεῖν παρὰ τὸ δίκαιον. Ἀντίοχοι καὶ Σέλευκοι πορφύρας καὶ διαδήματος ὀρεγόμενοι, πολλῶν μὲν αὐτȣ̀ς κακῶν καὶ ἀλλήλȣς, πολλῶν δὲ τὴν Ἀσίαν ἐνέπλησαν. Ἐπιδόσεως μεγάλης γιγνομένης, δεδιέναι δεῖ, μὴ τελευτῶντες εἰς τραχύτερα ἐξοκείλωμεν.

Ἀριϛοτέλης πρὸς τὸν καυχώμενον, ὡς ἀπὸ μεγάλης πόλεως εἴη· Οὐ τȣ̃το ἔφη σκοπεῖν, ἀλλὰ ὅϛις μεγάλης πατρίδος ἄξιός ἐϛιν.

Λυκȣ̃ργος ἔλεγεν· ἡμᾶς, ὦ πολῖται, ȣ̓δὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη εὐγένεια, καὶ τὸ ἀφ' Ἡρακλέȣς εἶναι ὀνίνησεν, εἰ μὴ πράττομεν δι' ἃ ἐκεῖνος ἁπάντων ἀνθρώπων ἐπιδοξότερος καὶ εὐγενέϛερος ἐφάνη, ἀσκȣ̃μενοι καὶ μανθάνοντες καλὰ δι' ὅλȣ τȣ̃ βίȣ.

᾿Αλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον, καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ᾽ ἑαυτῷ φρονῶν, καὶ ὑπὸ τῆς εὐτυχίας, τῆς περιλαβέσης αὐτὸν τότε, ἐκθεέμενος, ἐπέςειλε τοῖς Ἕλλησι, Θεὸν αὐτὸν ψηφίσασθαι. Γελοίως γε· Οὐ γὰρ ἀπερεῦν ἐκ τῆς φύσεως ἐκ εἶχε, ταῦτα ἐκ τῶν ἀνθρώπων αἰτῶν ἐκεῖνος ἐκέρδαινεν.

Ἡ φύσις ἀγωγός ἐςιν ἀφ᾽ ἑαυτῆς πρὸς τὸ καλόν. Αἰσχρεργίᾳ μὲν τὸ ἀφανίζεσθαι πρέπει, τῷ δὲ εἰς κάλλος βίῳ τὸ φῶς μᾶλλον κόσμον παρέχει.

Εἶναι βέλε τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιςής. Ἔςι γὰρ φιλοκάλε μὲν τὸ μεγαλοπρεπὲς, καλλωπιςε δὲ τὸ περίεργον.

Οὐκ ἔςι ταὐτὸ, τὸ καλὸν καὶ καλῶς τι μιμεῖσθαι· καλῶς γάρ ἐςι, τὸ πρεπόντως καὶ οἰκείως· οἰκεῖα δὲ καὶ πρέποντα τοῖς αἰσχροῖς τὰ αἰσχρά· ἡ μίμησις, ἄν τε περὶ χρηςὸν ἐφίκηται τῆς ὁμοιότητος, ἐπαινεῖται. Καὶ τἐναντίον ἂν αἰσχρε σώματος εἰκόνα καλὴν παράσχῃ, τὸ πρέπον καὶ τὸ εἰκὸς ἐκ ἀπέδωκεν.

Ἐγὼ, λέγει ἡ ἀρετὴ, σύνειμι μὲν τοῖς θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. Ἡ ἀρετὴ διδάσκει, ἃ δεῖ πράττειν, καὶ ὧν ἀφεκτέον.

Ἡ ἀρετὴ διὰ τῦτο μάλιςα εὐδοκιμεῖ, ὅτι κάλλιςον τῶν ἐπιτηδευμάτων ἐςίν. Μόνη κτημάτων ἀναφαίρετον, πολλε κρείττων πλέτε· καὶ τὸν ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸν ἀρετῆς ἀντάξιον μὴ τιθέμεθα.

Δοκεῖ μοι ἔτως ἔχειν, ἄνευ μὲν σωφροσύνης ἐδ᾽ ἄλλης ἀρετῆς ἐδὲν ὄφελος εἶναι· σὺν δὲ σωφροσύνῃ καὶ φίλος πᾶς χρήσιμος, καὶ θεράπων πᾶς ἀγαθός. Τραχεῖα ἡ ἀρετὴ καὶ ὄρθιος οἶμος ἐπ᾽ αὐτὴν, καὶ ἐκ ἄν τις ἕλοιτο ταύτην δίχα πόνε μακρε.

Τὴν ἀρετὴν ἀσκῦντες καθ᾽ ἑκάςην τὴν ἡμέραν εἰς εὐπορίαν ἐπιδώσομεν. Ἄριςα μὲν γὰρ οἶμαι ζῆν τὲς ἄριςα ἐπιμελομένες τε ὡς βελτίςες γίγνεσθαι, ἥδιςα δὲ τὲς μάλιςα αἰσθανομένες ὅτι βελτίες γίγνονται.

Κατηγορεῖται δ' ἀρετὴ μὲν, ὡς καλὸν, ἀνωφελὲς δὲ· τύχη δὲ, ὡς ἀβέβαιον μὲν, ἀγαθὸν δέ· καὶ τὴν μὲν ἄκαρπα πονεῖν λέγουσι· τὴν δὲ ἄπιστα δωρεῖσθαι.

Πειράσομαί σοι συντόμως ὑποθέσθαι, δι' ὧν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι. Ἡγοῦ μάλιστα σαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν.

Σωκράτης πρὸς Ἰσχόμαχον· Ὡς οὖν θεμιτὸν καὶ ἐμοὶ ἀγαθῷ ἀνδρὶ γενέσθαι, διήγου τελέως τὰ σὰ ἔργα, ἵνα, ὅ τι ἂν δύνωμαι ἀκούων καταμαθεῖν, πειρῶμαι, καὶ ἐγώ σε ἀπὸ τῆς αὔριον ἡμέρας ἀρξάμενος μιμεῖσθαι.

Τοιαύτας ἀρετὰς μὴ ἀγάπα λίαν, ὧν καὶ τοῖς φαύλοις μέτεστι, ἀλλ' ἐκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειε. Χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. Ἐκ τῶν νόμων μὲν οὐκ ἐπίδοσίς ἐστι πρὸς ἀρετὴν, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην ἡμέραν ἐπιτηδευμάτων.

Τοῖς πλείστοις οὐδενὸς ἄλλου μέλει, πλὴν τοῦ χρηματίζεσθαι παρὰ τῶν ἀνθρώπων. Πολλοὶ μηδενὸς ἄλλου φροντίζουσι, πλὴν ὅ, τι ἂν ὑπολάβωσιν ὠφέλιμον αὐτοῖς εἶναι· πολλοὶ δὲ πολλάκις μειζόνων ἐπιθυμοῦντες τὰ παρόντ' ἀπόλεσαν.

Τῷ μὲν ἐλευθέρῳ δεήσει χρημάτων πρὸς τὸ πράττειν τὰ ἐλευθέρια, καὶ τῷ δικαίῳ εἰς τὰς ἀνταποδώσεις. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων.

Τούτῳ γάρ μοι δοκεῖ διαφέρειν ἀνὴρ φιλότιμος ἀνδρὸς φιλοκερδοῦς τῷ ἐθέλειν ἐπαίνου καὶ τιμῆς ἕνεκα καὶ πονεῖν ὅπου δεῖ, καὶ κινδυνεύειν, καὶ αἰσχρῶν κερδῶν ἀπέχεσθαι. Τὰ δὲ πονηρὰ ἀνθρώπια οὐκ ἂν μᾶλλον ἕλοις, ἢ εἰ διδοίης τι.

Ὑπήντησε τῷ Κύρῳ καὶ ἡ γυνὴ τοῦ Ἀρμενίου, καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμισεν, ὃ πρότερον οὐκ ἤθελε λαβεῖν ὁ Κῦρος· Καὶ ὁ Κῦρος ἰδὼν, εἶπεν, Ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιϊόντα εὐεργετεῖν.

Ἕκαςος ἡμῶν ἐχ ἑαυτῷ μόνῳ γέγονε. Τὸ εὖ πάσχειν τὸ εὖ ποιεῖν ἐ μόνον κάλλιον, ἀλλὰ καὶ ἥδιόν ἐςι. Χαρᾶς γὰρ ἐδὲν ἔτως γόνιμόν ἐςιν, ὡς χάρις. Οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ' εὖ πάσχει αὐτὸς, καὶ εὐεργετεῖται· μείζονα γὰρ λαμβάνει, ἢ δίδωσιν.

Ἀρταξέρξης ὁ Ξέρξε, ὁ μακρόχειρ προσαγορευθεὶς, διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν, ὅτι τὸ προσθεῖναι τῷ ἀφελεῖν βασιλικώτερόν ἐςιν· ὁ δὲ Κῦρος ἐπεύξατο· Ἀλλ', ὦ Ζεῦ μέγιςε, αἰτῶμαί σε, δός μοι τὲς ἐμὲ τιμῶντας νικῆσαι εὖ ποιῶντα.

Οὔτι κακῶς σοι κείσεται ὅ, τι ἂν τὲς ἀγαθὲς εὐεργετήσεις, οἱ ἀγαθοὶ γὰρ ἀντὶ μικρῶν οἴδασι χάριν. Κακὲς δὲ εὖ ποιῶν ὅμοια πείσῃ τοῖς ἀλλοτρίας κύνας σιτίζεσιν. Ἀχάριςον εὐεργετεῖν, καὶ νεκρὸν μυρίζειν, ἐν ἴσῳ κεῖται.

Τὲς εὖ ποιῶντας ἀντευεργετεῖν πανταχῆ νόμιμον. Τὸ δὲ τὰς εὐεργεσίας ὑπομιμνήσκειν, μικρῷ δεῖν ὅμοιόν ἐςι τῷ ὀνειδίζειν.

Εἰκὸς ἕνα μὲν ἕκαςον ἐλεεῖσθαι τῶν παρὰ τὸ δίκαιον δυστυχέντων. Οὐκ ἔδει καὶ σὲ, λέγει ὁ Κύριος, ἐλεῆσαι τὸν σύνδελόν σε, ὡς καὶ ἐγώ σε ἠλέησα;

Εἰσὶν ἀπατηλαί τινες δέσποιναι προσποιέμεναι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι, αἳ προϊόντος τῷ χρόνε καὶ αὐτοῖς τοῖς ἐξαπατηθεῖσι καταφανεῖς γίγνονται, ὅτι λῦπαι ἄρα ἦσαν ἡδοναῖς περιπεπλεγμέναι, αἳ διακωλύεσιν αὐτὲς ἀπὸ τῶν ὠφελίμων ἔργων κρατῆσαι.

Ἐν μὲν τῷ ῥαθυμεῖν, καὶ τὰς πλησμονὰς ἀγαπᾷν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασιν. Οὐ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν ὅ τι ποιῇς, ὦ τλῆμον, ὕπνε ἐπιθυμεῖς. Ὕπνος δὲ τοῖς τῆς ἀρετῆς φίλοις πάρεσιν ἡδίων ἢ τοῖς ἀμόχθοις· καὶ ἔτε ἀπολείποντες αὐτὸν ἄχθονται, ἔτε διὰ τῦτον μεθιᾶσι τὰ δέοντα πράττειν.

Τοσῦτον δέ τι ἀγαθὸν κρίνω ἔγωγε τὸ φιλεῖσθαι εἶναι, ὥςε νομίζω τῷ ὄντι αὐτόματα ἀγαθὰ τῷ φιλεμένῳ γίγνεσθαι καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων. Τὸ μὲν

τῆς ὥρας ἄνθος ταχὺ δήπε παρακμάζει, ἀπολείποντος δὲ τέτε, ἀνάγκη καὶ τὴν Φιλίαν συναπομαραίνεσθαι· ἡ δὲ ψυχὴ ὅσονπερ ἂν χρόνον ἴῃ ἐπὶ τὸ Φρονιμώτερον, καὶ ἀξιεραςοτέρα γίγνεται.

Οὐ βιώσῃ Φιλοσοφήσας ἀηδῶς, ἀλλὰ πανταχῦ ζῆν ἡδέως μαθήσῃ καὶ ἀπὸ πάντων· εὐΦρανεῖ σε πλῦτος, πολλὲς εὐεργετῦντα· καὶ πενία, πολλὰ μὴ μεριμνῶντα· καὶ δόξα, τιμώμενον· καὶ ἀδοξία, μὴ Φθονέμενον.

Τὸ εὐδαῖμον καὶ μακάριον ἐ χρημάτων πλῆθος, ἐδὲ πραγμάτων ὄγκος, ἐδὲ ἀρχαί τινες ἔχεσιν, ἐδὲ δυνάμεις, ἀλλ᾿ ἀλυπία καὶ πρᾳότης παθῶν, καὶ διάθεσις ψυχῆς τὸ κατὰ Φύσιν ὁρίζεσα. Ζῆν κρεῖττόν ἐςιν ἐπὶ ςιβάδος κατακείμενον θαῤῥεῖν, ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην.

Πολλάκις ἀκηκοὼς μνημονεύεις, ὡς ἔτε ποδάγρας ἀπαλλάττει καλτίκιος ἔτε δακτύλιος πολυτελὴς παρωνυχίας, ἐδὲ διάδημα κεΦαλαλγίας. Οὐκ ἐν τῇ Φύσει τῶν πραγμάτων ἔτως, ὡς ἐν τῇ γνώμῃ τῶν ἀνθρώπων τὰ τῆς εὐθυμίας ἵςασθαι πέΦυκε.

Νόμιζε μηδὲν τῶν ἀνθρωπίνων βέβαιον εἶναι. Ὁ τὰ βέλτιςα πράττων, καὶ τύχην ἀρίςην οἰόμενος ἔχειν, ἐκ οἶδεν εἰ μένει τοιαύτη μέχρι τῆς ἑσπέρας. Κατὰ Σόλωνα ἄνθρωπός ἐςιν εὐδαίμων τότε, ἐπειδὰν ἀποθάνῃ.

Δεῖ σε χαίρειν, μὴ λυπεῖσθαι, τυγχάνοντα μετρίων. Τὰ μέτρια τῶν κακῶν ἐνίοτε μεγάλων εὐτυχημάτων βελτίω ἐςί. Φίλιππος, ὁ τῶν Μακεδόνων βασιλεὺς, τριῶν αὐτῷ προσαγγελθέντων εὐτυχημάτων ὑφ᾿ ἕνα καιρὸν· Ὦ δαῖμον, εἶπε, μέτριόν τι τέτοις ἀντίθες ἐλάττωμα· εἰδὼς, ὅτι τοῖς μεγάλοις εὐτυχήμασι Φθονεῖν πέΦυκεν ἡ τύχη.

Οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν ἐκ εὐΦραίνονται, οἱ δὲ ἡγέμενοι καλῶς προχωρεῖν ἑαυτοῖς ἢ γεωργίαν ἢ ναυκληρίαν ἢ ἄλλ᾿ ὅ τι ἂν τυγχάνωσιν ἐργαζόμενοι, ὡς εὖ πράττοντες εὐΦραίνονται.

Ἕκαςος εὐχέσθω, μάλιςα μὲν αὐτὸς εὐπραξίᾳ διαΦέρειν, εἰ δὲ μὴ, τὸν ἀδελΦὸν αὐτῦ τὴν ζηλεμένην ἔχειν ὑπεροχὴν καὶ δύναμιν.

Σύλλας ὁ εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίςων εὐτυχιῶν

ἐποιεῖτο

ἐποιεῖτο δύο, τὴν Πίȣ Μετέλλȣ Φιλίαν, καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ Φείσασθαι τῆς πόλεως.

Τίς ἀνθρώπων ȣ̓κ ἐπιθυμήσει μετασχεῖν τῆς Φιλίας; Ὅτι μὲν γὰρ δὴ ἄνευ Φιλίας συνȣσία ȣ̓δεμία ἀξιόλογος πάντες ἐπιςάμεθα.

Ὡς τὸ πολὺ οἱ ἥλικες ἀλλήλοις σύνεισι. Μέλλομέν σοι συμβȣλεύειν, ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν δεῖ. Φίλȣς κτῶ μὴ πάντας τȣ̀ς βȣλομένȣς, ἀλλὰ τȣ̀ς τῆς σῆς Φύσεως ἀξίȣς ὄντας. Μηδένα Φίλον ποιȣ̃, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς προτέροις Φίλοις.

Ἀκριβεῖς ποιȣ̃ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς, ὅτι πάντες, οἱ μή σοι πλησιάζοντες, ὅμοιόν σε τοῖς χρωμένοις νομιȣ̃σιν. Ὑπὲρ τῶν σεαυτȣ̃ συμβȣλεύȣ τοῖς ὑπὲρ τῶν αὑτῶν καλῶς διοικήσασιν.

Οὐχὶ τὰ ἑαυτῶν σκοπεῖν μόνον, ἀλλὰ καὶ τὰ τῶν πέλας ἐκελεύθημεν. Ὡς τὰ πολλὰ ἄνθρωποι διὰ τὸ χρήσιμον Φιλȣ̃σιν ἀλλήλȣς. Τὸ δὲ Φιλεῖσθαι, ἀγαπᾶσθαί ἐςιν αὐτὸν δι' αὑτόν. Κακοηθὴς ἄνθρωπος καὶ ἅπασι μέχρι τȣ̃ τυχεῖν, ὧν δεῖται, Φίλος ἐςὶ, μετὰ ταῦτα δ' ἐχθρὸς γίνεται.

Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, ȣ̓κ ἐν τοῖς λόγοις, ἀλλ' ἐν τοῖς ἔργοις ἐνδεικνύναι δεῖ. Εἰ εὖ ποιεῖν Φίλȣς, καλὸν, ȣ̓κ αἰσχρὸν εὖ πάσχειν ὑπὸ Φίλων. Φίλον μὲν ȣ̓χ ȣ̃τω τὸ εὖ ποιεῖν καλὸν, ὡς αἰσχρὸν τὸ μὴ ποιεῖν δεόμενον.

Ἔπαινον Φίλων μᾶλλον, ἢ σαυτȣ̃ λέγε. Οὐδὲ τȣ̀ς ἐπαινȣ̃ντας εὐθὺς ὡς κολακεύοντας ἁπλῶς ὑΦορατέον· ἔπαινος γὰρ ȣ̓χ ἧττον ἐν καιρῷ ψόγȣ Φιλίᾳ προσήκει. Ὁ δὲ διαβάλλων Φίλον μὴ εὐδοκιμείτω, κἂν ἀληθῆ λέγῃ.

Οὐ δέομαι Φίλȣ συμμεθιςαμένȣ καὶ συνεπινεύοντος, ἡ γὰρ σκιὰ ταῦτα ποιεῖ μᾶλλον, ἀλλὰ συναληθεύοντος καὶ συνεπικρίνοντος. Ἐπεὶ δ' ȣ̃τε Φῶς λαμπρὸν ὄμματι Φλεγμαίνοντι προσοιςέον, ȣ̃τ' ἐμπαθὴς ψυχὴ παῤῥησίαν ἀναδέχεται καὶ νȣθεσίαν ἄκρατον, ἐν τοῖς χρησιμωτάτοις ἐςὶ τῶν βοηθημάτων ὁ παραμιγνύμενος ἐλαΦρὸς ἔπαινος.

Οὔτε θέλȣς, ȣ̃τε Φίλȣς ἐςὶ κτήσασθαι πολλȣ̀ς ἀπ'

ὀλίγȣ νομίσματος. Τί ȣ̃ν νόμισμα φιλίας; εὔνοια καὶ χάρις μετ' ἀρετῆς, ὧν ȣ̓δὲν ἔχει σπανιώτερον ἡ φύσις· ὅθεν τὸ σφόδρα φιλεῖν καὶ φιλεῖσθαι πρὸς πολλȣ̀ς ȣ̓κ ἔϛιν.

Καλῶς ἂν ἔχοι ἐξετάζειν τινὰ ἑαυτὸν, πόσȣ ἄρα τυγχάνοι τοῖς φίλοις ἄξιος ὢν, καὶ πειρᾶσθαι, ὡς πλείϛȣ ἄξιος εἶναι, ἵνα ἧττον αὐτὸν οἱ φίλοι προδιδῶσιν.

Πολλοὶ μὲν τῶν ἑταίρων ἀτυχȣ̃σι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττȣσι φθονȣ̃σι. Οἱ μὲν φίλοι καὶ νοσȣ̃ντες ἡμᾶς πολλάκις καὶ ἀποθνήσκοντες λανθάνȣσι, μέλλοντας, καὶ ὀλιγωρȣ̃ντας. Τῶν δ' ἐχθρῶν μονονȣχὶ καὶ τȣ̀ς ὀνείρȣς πολυπραγμονȣ̃μεν.

Διογένης ἔλεγε, τῷ σωτηρίας δεομένῳ ζητεῖν προσήκειν ἢ φίλον σπȣδαῖον, ἢ διάπυρον ἐχθρὸν, ὅπως ἐλεγχόμενος, ἢ θεραπευόμενος, ἀποφεύγῃ τὴν κακίαν.

Ὁ μὲν παθὼν πανταχȣ̃ βοηθείας δίκαιός ἐϛι τυγχάνειν. Ὅσῳπερ ἂν ἰσχυρότερος ᾖς, τοσȣ́τῳ δικαιότερος ἂν εἴης τὸν ἀσθενέϛερον διαβαϛάσαι. Ἐὰν τȣ̀ς φίλȣς κρατῇς εὖ ποιῶν, ȣ̓ μή σοι δύνωνται ἀντέχειν οἱ πολέμιοι. Κἂν ταῦτα πάντα ποιῇς, εὖ ἴσθι πάντων τῶν ἐν ἀνθρώποις κάλλιϛον καὶ μακαριώτατον κτῆμα κεκτημένος· εὐδαιμονῶν γὰρ ȣ̓ φθονηθήσῃ.

Διὰ πάντων (χαλεπῶν) ἡ φιλία διαδυομένη συνάπτει τȣ̀ς καλȣ̀ς τε κἀγαθȣ̀ς· διὰ γὰρ τὴν ἀρετὴν αἱρȣ̃νται μὲν ἄνευ πόνȣ τὰ μέτρια κεκτῆσθαι μᾶλλον, ἢ διὰ πολέμȣ πάντων κυριεύειν· καὶ δύνανται πεινῶντες καὶ διψῶντες ἀλύπως σίτȣ καὶ ποτȣ̃ κοινωνεῖν, καὶ καρτερεῖν, ὥϛε μὴ λυπεῖν, ȣ̔̀ς μὴ προσήκει.

Δύνανται δὲ καὶ χρημάτων ȣ̓ μόνον, τȣ̃ πλεονεκτεῖν ἀπεχόμενοι, νομίμως κοινωνεῖν, ἀλλὰ καὶ ἐπαρκεῖν ἀλλήλοις· δύνανται δὲ καὶ τὴν ἔριν ȣ̓ μόνον ἀλύπως ἀλλὰ καὶ συμφερόντως ἀλλήλοις διατίθεσθαι, καὶ τὴν ὀργὴν κωλύειν εἰς τὸ μεταμελησόμενον προϊέναι· τὸν δὲ φθόνον παντάπασιν ἀφαιρȣ̃σι, τὰ μὲν ἑαυτῶν ἀγαθὰ τοῖς φίλοις οἰκεῖα παρέχοντες, τὰ δὲ τῶν φίλων ἑαυτῶν νομίζοντες.

Μίσει τȣ̀ς κολακεύοντας, ὥσπερ τȣ̀ς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιϛευθέντες τȣ̀ς πιϛεύοντας ἀδικȣ̃σιν.

Ὥσπερ τὰ ψευδόχρυσα καὶ τὰ κίβδηλα τῶν σκευῶν, τὴν λαμπρότητα τȣ̃ χρυσȣ̃ καὶ τὸ γάνωμα μιμεῖται μόνον, ὅτως ἔοικεν ὁ κόλαξ τȣ̃ φίλȣ τὸ ἡδὺ καὶ κεχαρισμένον ἐκμιμȣ́μενος, ἀεὶ παρέχειν ἱλαρὸν καὶ ἀνθηρὸν ἑαυτόν.

Εἰ μὲν ȣ̃ν, ὡς τὰ πλεῖςα τῶν ἄλλων κακῶν, ὁ κόλαξ ἥπτετο μόνον, ἢ μάλιςα, τῶν ἀγενῶν καὶ φαύλων, ȣ̓κ ἂν ἦν ὅτως δεινὸν, ȣ̓δὲ δυσφύλακτον. Τὴν κολακείαν ὁρῶμεν ȣ̓ πένησιν, ȣ̓δ' ἀδόξοις, ȣ̓δ' ἀδυνάτοις, ἀκολȣθȣ̃σαν, ἀλλ' οἴκων τε καὶ πραγμάτων μεγάλων ὀλίσθημα καὶ νόσημα γινομένην, πολλάκις δὲ καὶ βασιλείας καὶ ἡγεμονίας ἀνατρέπȣσαν.

Χαλεπὸν ȣ̃ν (φαίη τις ἂν) ἐςὶ διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον, εἰ μήτε ἡδονῇ, μήτ' ἐπαίνῳ, διαφέρȣσι· καὶ γὰρ ἐν ὑπȣργίαις καὶ διακονίαις πολλάκις ἰδεῖν ἐςὶ τὴν φιλίαν ὑπὸ τῆς κολακείας παρατρεχομένην.

Ὁρᾶν ἐςὶ τȣ̀ς κόλακας ἕδρας τε τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας, ȣ̓χ ὅτι τȣ́των ἀξιȣ̃σιν αὑτȣ̀ς, ἀλλ' ὅπως ὑπεξανιςάμενοι τοῖς πλȣσίοις, κολακεύȣσι· προσταττόμενος ὁ κόλαξ, ὅ τι βȣ́λει τῶν ἀδόξων καὶ μὴ καλῶν, ἕτοιμος ἀφειδεῖν ἑαυτȣ̃, τῷ προστάττοντι χαριζόμενος.

Τί κωλύει διδάσκαλον ἄμισθον λαβόντα, τὸν ἐχθρὸν, ὠφεληθῆναι καὶ μαθεῖν τι τῶν λανθανόντων; πολλὰ γὰρ ὁ ἐχθρὸς μᾶλλον αἰσθάνεται τȣ̃ φίλȣ.

Ἐπεὶ τοῖς μὲν ἄλλοις ἱκανόν ἐςι τὸ μὴ πάσχειν ὑπὸ τῶν ἐχθρῶν κακῶς, τȣ̀ς δὲ νȣ̃ν ἔχοντας ὁ Ξενοφῶν καὶ ἀπὸ τῶν διαφερομένων ὠφελεῖσθαί φησιν, ἀπιςεῖν μὲν ȣ̓ χρὴ, ζητεῖν δὲ μέθοδον καὶ τέχνην, δι' ἧς τȣ̃το περιέσαι τὸ καλὸν, οἷς χωρὶς ἐχθρȣ̃ ζῆν ἀδύνατόν ἐςιν.

Ἐλάσσω κακὰ πάσχȣσιν ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν, ἢ ὑπὸ τῶν φίλων, τȣ̀ς μὲν γὰρ ἐχθρȣ̀ς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσὶ, γίνονται σφαλεροὶ καὶ εὐεπιβȣ́λευτοι.

Καικίλιος Μέτελλος Σκιπίωνι ζῶντι πολεμῶν, ἀποθανόντος ἠχθέσθη, καὶ τȣ̀ς μὲν υἱȣ̀ς ἐκέλευσεν ὑποδύντας

ἄρασθαι τὸ λέχος, τοῖς δὲ Θεοῖς ἔφη χάριν ἔχειν ὑπὲρ τῆς Ῥώμης, ὅτι παρ' ἄλλοις ἐκ ἐγένετο Σκιπίων.

Ἄθροιζε χρυσίον, σύναγε ἀργύριον, οἰκοδόμει περιπάτες, ἔμπλησον ἀνδραπόδων τὴν οἰκίαν· ἂν μὴ τὰ πάθη τῆς ψυχῆς καταςορέσῃς, οἶνον διηθεῖς πυρέττοντι, καὶ χολικῷ μέλι προσφέρεις.

Πολλά ἐςι τῦ θυμῦ φοβερὰ, πολλὰ δὲ καὶ γελοῖα· διὸ καὶ μισεῖται καὶ καταφρονεῖται μάλιςα τῶν παθῶν· ἀμφότερα δ' ἐσκέφθαι χρήσιμον. Ἃ ὁ θυμὸς ἐκβράσσει τῆς ψυχῆς περιτρεπομένης ἀκόλαςα καὶ πικρὰ καὶ σπερμολόγα ῥήματα, τὰς λέγοντας πρώτας καταῤῥυπαίνει, καὶ καταπίμπλησιν ἀδοξίας.

Τὸ ἐπισφαλῶς πρὸς ὀργὴν ἔχοντα, καὶ φύσει τραχὺν ὄντα καὶ θυμοειδῆ, μὴ λανθάνειν ἑαυτὸν, ἀλλ' ἐξευλαβεῖσθαι καὶ φυλάττεσθαι τὰς αἰτίας, καὶ προκαταλαμβάνειν τῷ λογισμῷ πόῤῥωθεν, ὅπως ἐδ' ἄκων τῷ πάθει περιπεσεῖται, θαυμαςῆς ἐςι προνοίας.

Οἱ μὲν ἀπαίδευτοι ὑπεκκαύματα τοῖς πάθεσι συλλέγεσι, καὶ πρὸς ἃ μάλιςα κακῶς καὶ ὀλισθηρῶς ἔχεσιν, αὐτὰς προΐεντας. — Πλάτων δὲ εἰσελθόντος ποτὲ Ξενοκράτες, εἶπε, μαςιγῶσαι τὸν παῖδα· αὐτὸν γὰρ μὴ δύνασθαι διὰ τὸ ὀργίζεσθαι. Ἀλλὰ καὶ πρός τινα τῶν παιδων, Μεμαςίγωσο ἂν, εἶπεν, εἰ μὴ ὠργιζόμην.

Ὡς οἱ χαλεποὶ κύνες πρὸς πᾶσαν ἐκταραττόμενοι βοὴν, ὑπὸ μόνης καταπραΰνονται τῆς συνήθες· ὅτω καὶ τὰ πάθη τὰ τῆς ψυχῆς διαγριαινόμενα καταπαῦσαι ῥαδίως ἐκ ἔςιν, ἂν μὴ λόγοι παρόντες οἰκεῖοι καὶ συνήθεις ἐπιλαμβάνωνται τῶν ταραττομένων.

Εἴ τις ὑπερβάλλοι πόσιος μέτρον, ἐκ ἔτ' ἐκεῖνος τῆς αὐτῦ γλώσσης καρτερὸς, ἐδὲ νόε. Λόγος ἐς' ἀρχαῖος ἐ κακῶς ἔχων· οἶνον λέγεσι τὰς γέροντας, ὦ πάτερ, πείθειν χορεύειν ἐ θέλοντας.

Λεωτυχίδας πυνθανομένε τινὸς διὰ τίνα αἰτίαν ὀλιγοποτῦσιν οἱ Σπαρτιάται, ἔφη, Ἵνα μὴ ἄλλοι ὑπὲρ ἡμῶν βελεύωνται, ἀλλ' ἡμεῖς ὑπὲρ ἄλλων.

Ἴσως μὲν γάρ τε καί Θεόφρασος ἀληθὲς εἶπεν, εἰπὼν ἐν μεταφορᾷ, πολὺ τῷ σώματι τελεῖν ἐνοίκιον τὴν ψυχήν. πλείονα μέντοι τὸ σῶμα τῆς ψυχῆς ἀπολαύει κακά, μὴ κατὰ λόγον αὐτῷ χρωμένης, μηδὲ, ὡς προσήκει, θεραπευόμενον. Ὅταν γὰρ ἐν πάθεσιν ἰδίοις γένηται, καὶ ἀγῶσι καὶ σπουδαῖς, ἀφειδεῖ τοῦ σώματος.

Πολλάκις πλείονας ὁμογνώμονας λαμβάνουσιν οἱ Φαῦλοι, ἢ οἱ σπουδαῖοι. Ἡ γὰρ πονηρία, διὰ τῶν παραυτίκα ἡδονῶν πορευομένη, ταύτας ἔχει συναναπειθούσας πολλοὺς αὐτῇ ὁμογνομονεῖν· ἡ δὲ ἀρετὴ, πρὸς ὄρθιον ἄγουσα, οὐ πάνυ δεινή ἐσιν ἐν τῷ παραυτίκα εἰκῇ συνεπισπᾶσθαι· ἄλλως τε καὶ ἢν ἄλλοι ὦσιν, ἐπὶ τὸ πρανὲς καὶ τὸ μαλακὸν ἀντιπαρακαλοῦντες.

Οὐχ, ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερὸς ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος· εἴ γε κακουργότερόν ἐσι, μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ Φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν.

Παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται, δίκαιον εἶναι, ἑκάσους τὰ ἑαυτῶν ἔχειν. Οὐ δεῖ ὑμᾶς ἴσην πρόνοιαν ἔχειν τοῦ συμφέροντος, ὅσηνπερ τοῦ δικαίου. Δεήσομαι πάντων ὑμῶν, μηδεμίαν μήτε χάριν, μήτε ἄνδρα ποιεῖσθαι περὶ πλείονος, ἢ τὸ δίκαιον, καὶ τὸν ὅρκον.

Ἀνάγκη τοὺς ἀνθρώπους τοιαῦτα πάσχειν, οἷάπερ ἂν καὶ τοὺς ἄλλους δράσωσιν. Ὅσις πολὺν χρόνον ἀδικῶν ἀκόλασος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέσατον. Τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς.

Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν, οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται. Ὁ μὲν Ἰάσων, οὐκ οἶδα, ὅ τι παθὼν, τὰ μικρὰ δεῖν ἀδικεῖν ἔλεγεν, οὕνεκεν τοῦ τὰ μεγάλα δικαιοπραγεῖν. Δεῖ τοῖς Φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν ἄχρι τοῦ μὴ ἐπιορκεῖν.

Ἡ δικαιοσύνη τοῖς τελευτήσασι δόξαν παρασκευάζει. Οἱ γὰρ δίκαιοι, εἰ μηδὲν ἄλλο τῶν ἀδίκων πλεονεκτοῦσιν,

ἀλλ' ȣ̃ν ἐλπίσι γε σπȣδαίαις ὑπερέχȣσι. Μηδεὶς μετὰ δικαίȣ κινδύνȣς ποιȣ́μενος, οἰέσθω συμμάχων ἀπορήσειν.

Τὸ μὲν τελευτῆσαι πάντων ἡ πεπρωμένη κατέκρινε· τὸ δὲ καλῶς ἀποθνήσκειν ἴδιον τοῖς σπȣδαίοις ἡ Φύσις ἀπένειμε.

Θάνατος πρὸ ὀφθαλμῶν ἔςω σοι καθ' ἡμέραν, καὶ ȣ̓δὲν ȣ̓δέποτε ταπεινὸν ἐνθυμηθήσῃ. Κᾂν μυρίων πηχῶν γῆς κύριος ὑπάρχῃς, θανὼν γενήσῃ τριῶν ἢ τεσσάρων.

Ἡγȣ́μεθά τι τὸν θάνατον εἶναι; Ἆρα μὴ ἄλλό τι, ἢ τὴν τῆς ψυχῆς ἀπὸ τȣ̃ σώματος ἀπαλλαγήν; καὶ εἶναι τȣ̃το τεθνᾶναι, χωρὶς ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' αὐτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν τȣ̃ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὐτὴν εἶναι; ἆρα μὴ ἄλλό τι ἢ ὁ θάνατος, ἢ τȣ̃το;

Οἶσθα, ὅτι τὸν θάνατον ἡγȣ̃νται πάντες οἱ ἄνθρωποι τῶν μεγίςων κακῶν εἶναι. Ἐννοήσατε δὲ, ὅτι ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ ȣ̓δέν ἐςιν ὕπνȣ· ἡ δὲ τȣ̃ ἀνθρώπȣ ψυχὴ τότε δήπȣ θειοτάτη καταφαίνεται.

Τῷ ὄντι ἄρα οἱ ὀρθῶς φιλοσοφȣ̃ντες ἀποθνήσκειν μελετῶσι, καὶ τὸ τεθνάναι ἥκιςα αὐτοῖς ἀνθρώπων φοβερόν. Γελοῖον ἂν εἴη, ἄνδρα παρασκευάζονθ' ἑαυτὸν ἐν τῷ βίῳ ὅτι ἐγγυτάτω ὄντα τȣ̃ τεθνάναι, ȣ̔́τω ζῆν, κᾄπειθ' ἥκοντος αὐτῷ τȣ́τȣ, ἀγανακτεῖν.

Τοιȣ́τȣ τȣ̃ βίȣ τῶν ἀνθρώπων ὄντος, πῶς ȣ̓κ εὐδαιμονίζειν μᾶλλον προσήκει τȣ̀ς ἀπολυθέντας τῆς ἐν αὐτῷ λατρείας, ἢ κατοικτείρειν τε καὶ θρηνεῖν, ὅπερ οἱ πολλοὶ δρῶσι δι' ἀμαθίαν.

Κρίτων πρὸς Σωκράτην· θάπτομεν δὲ τίνα σε τρόπον; Ὅπως ἂν, ἔφη, βȣ́λησθε· ἐάν περ γε λάβητέ με, καὶ μὴ ἐκφύγω ὑμᾶς. Γελάσας δὲ ἅμα ἡσυχῆ, καὶ πρὸς τȣ̀ς συνόντας ἀποβλέψας, εἶπεν, ȣ̓ πείθω, ἔφη, ὦ ἄνδρες, Κρίτωνα, ὡς ἐγώ εἰμι, ȣ̔̃τος ὁ Σωκράτης ὁ νυνὶ διαλεγόμενος καὶ διατάττων ἕκαςα τῶν λεγομένων.

Ἐπεδείξατο ὁ Σωκράτης τῆς ψυχῆς τὴν ῥώμην· ἐπεὶ γὰρ ἔγνω τȣ̃ ἔτι ζῆν τὸ τεθνάναι αὐτῷ κρεῖσσον εἶναι, ὥσπερ ȣ̓δὲ πρὸς τἄλλα τἀγαθὰ προσάντης ἦν, ȣ̓δὲ πρὸς τὸν θά-

νατον ἐμαλακίσατο, ἀλλ᾽ ἱλαρῶς καὶ προσεδέχετο αὐτὸν καὶ ἐπετελέσατο.

Δύω ἐςὶν, ὧν ἕνεκα πάντες τίθενται οἱ νόμοι, τοῦτε μηδένα μηδὲν, ὃ μὴ δίκαιόν ἐςι, ποιεῖν, καὶ τοῦ, τοὺς παραβαίνοντας ταῦτα, κολαζομένους, βελτίους τοὺς ἄλλους ποιεῖν. Τοὺς νόμους τιθέμεθα, οὐ κέρδους ἕνεκ᾽ ἀδίκου, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ συμφέρον ἀποβλέποντες.

Πόλις, ἐν ᾗ μάλιςα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριςα διάγει καὶ ἐν πολέμῳ ἀνυπόςατός ἐςιν.

Λυκοῦργον μέντοι, τὸν θέντα τοῖς Σπαρτιάταις τοὺς νόμους, οἷς πειθόμενοι ηὐδαιμόνησαν, τοῦτον καὶ θαυμάζω, καὶ εἰς τὰ ἔσχατα μάλα σοφὸν ἡγοῦμαι· ἐκεῖνος γὰρ, οὐ μιμησάμενος τὰς ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία γνοὺς ταῖς πλείςαις, προέχουσαν εὐδαιμονίᾳ τὴν πατρίδα ἐπέδειξεν.

Ἀθηναίων οἱ φρονιμώτατοι, συνορῶντες τὸν Σόλωνα μόνον μάλιςα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα, καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας, μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο τοῖς κοινοῖς προσελθεῖν, καὶ καταπαῦσαι τὰς διαφοράς.

Ὑπὲρ τοῦ κοινῇ βελτίςου δεῖ μέλειν τοῖς ἄρχουσι. Τῶν μὲν ἀρχόντων ἔργον ἐςὶ, τοὺς ἀρχομένους ταῖς ἑαυτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεςέρους. Ὁ τῷ ὄντι ἀληθινὸς ἄρχων, οὐ πέφυκε τὸ αὐτῷ συμφέρον σκοπεῖσθαι, ἀλλὰ τῷ ἀρχομένῳ.

Καῖσαρ Σεβαςὸς ἀκούσας ὅτι Ἀλέξανδρος δύο καὶ τριάκοντα γεγονὼς ἔτη κατεςραμμένος τὰ πλεῖςα διηπόρει τί ποιήσει τὸν λοιπὸν χρόνον, ἐθαύμαζεν, εἰ μὴ μεῖζον Ἀλέξανδρος ἔργον ἡγεῖτο τοῦ κτήσασθαι μεγάλην ἡγεμονίαν τὸ διατάξαι τὴν ὑπάρχουσαν.

Ἀρίςων, ἐπαινοῦντός τινος τὴν τοῦ Κλεομένους χρείαν, ὅτι ἐρωτηθεὶς τί δεῖ τὸν ἀγαθὸν βασιλέα ποιεῖν, εἶπε, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν. Καὶ πόσῳ κρεῖσσον, ἔφη, ὦ λῷςε, τοὺς μὲν φίλους εὐεργετεῖν, τοὺς δὲ ἐχθροὺς φίλους ποιεῖν; Αὕτη Σωκράτους ὁμολογουμένη πρὸς πάντων χρεία οὖσα, καὶ εἰς αὐτὸν ἀναφέρεται.

Ἐςὶ δὲ δικαςῶν νȣ̃ν ἐχόντων, περὶ τῶν ἀλλοτρίων τὰ δίκαια ψηφίζεσθαι, ἅμα δὲ καὶ σφέτερ᾽ αὐτῶν εὖ τίθεσθαι. Ἄρχοντος γάρ ἐςιν, ȣ̓χ ἑαυτὸν μόνον ἀγαθὸν παρέχειν, ἀλλὰ δὴ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιςοι ἔσονται. Δεῖ τȣ̀ς βασιλέας ἐπὶ μηδενὶ μᾶλλον χαίρειν καὶ τέρπεσθαι, ἢ τῷ τȣ̀ς ὑπηκόȣς εὐεργετεῖν.

Ἄρχεσθαι μαθὼν, ἄρχειν ἐπιςήσῃ. Ὁ μὴ δȣλεύσας, ȣ̓δ᾽ ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνȣ. Μία αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνȣς ἐςὶ, τὸ προςατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβȣ́λων σπȣδαίων τυχεῖν· θαυμάζειν ἄξιον, εἴ τις ἐλπίζοι τὴν πόλιν κακοῖς συμβȣ́λοις χρωμένην, ἐπὶ τὸ βέλτιον ἐπιδώσειν.

Ἁπτόμενος ὁ Κικέρων τῆς πολιτείας προθυμότερον, αἰσχρὸν ἡγεῖτο, τȣ̀ς μὲν βαναύσȣς ὀργάνοις χρωμένȣς καὶ σκεύεσιν ἀψύχοις, μηδενὸς ἀγνοεῖν ὄνομα, μηδὲ χώραν, ἢ δύναμιν αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι᾽ ἀνθρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥαθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτῶν γνῶσιν.

Ὅθεν ȣ̓ μόνον τῶν ὀνομάτων εἴθιζεν αὐτὸν μεμνῆσθαι, ἀλλὰ καὶ τὸν τόπον, ἐν ᾧ τῶν γνωρίμων ἕκαςος οἰκεῖ, καὶ χωρίον, ὃ κέκτηται, καὶ φίλȣς, οἷς τισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευομένῳ Κικέρωνι πρόχειρον ἦν εἰπεῖν, καὶ ἐπιδεῖξαι τȣ̀ς τῶν φίλων ἀγρȣ̀ς καὶ τὰς ἐπαύλεις.

Πολλῶν καὶ μεγάλων συμφορῶν τȣ̀ς Ἕλληνας ἀπήλλαξεν ὁ Θησεύς. Κάλλιςον μὲν ȣ̃ν περὶ Θησέως τȣ̃τ᾽ εἰπεῖν ἔχω, ὅτι κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γενόμενος, ἐφάμιλλον τὴν ἑαυτȣ̃ δόξαν πρὸς τὴν ἐκείνȣ κατέςησεν· ἀδελφὰς τὰς ἐπιθυμίας ἔσχον, μόνοι γὰρ ȣ̃τοι τῶν προγεγενημένων ὑπὲρ τȣ̃ βίȣ τῶν ἀνθρώπων ἀθληταὶ κατέςησαν.

Ἡ ἀρετὴ τȣ̃ Ἡρακλέȣς καὶ Θησέως τηλικȣ̃τον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥςε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων.

Πλȣ̃τον ȣ̓κ ἐθαύμαζεν ὁ Σόλων· ἐν δὲ τοῖς τότε χρόνοις, καθ᾽ Ἡσίοδον, ἔργον ȣ̓δὲν ἦν ὄνειδος, ȣ̓δὲ τέχνη

διαφορὰν ἔφερεν· ἐμπορία δὲ καὶ δόξαν εἶχεν, οἰκειουμένη τὰ βαρβαρικὰ, καὶ προξενοῦσα φιλίας βασιλέων, καὶ πραγμάτων ἐμπείρους ποιοῦσα πολλῶν.

Ἀγησίλαος μὲν ἱερὰ καὶ τὰ ἐν τοῖς πολεμίοις ἐσέβετο, ἡγούμενος τοὺς θεοὺς οὐχ ἧττον ἐν τῇ πολεμίᾳ χρῆναι, ἢ ἐν τῇ φιλίᾳ συμμάχους ποιεῖσθαι.

Ἐγὼ οὖν καὶ τοῦτο ἐπαινῶ Ἀγησιλάου, τὸ πρὸς ἀρέσκειν τοῖς Ἕλλησιν, ὑπεριδεῖν τὴν βασιλέως ξενίαν· ἐν τοῖς μεγίστοις ὠφελήμασι τῆς πατρίδος καὶ τόδε ἐγὼ τίθημι τοῦ Ἀγησιλάου, ὅτι δυνατώτατος ὢν ἐν τῇ πόλει, φανερὸς ἦν μάλιστα τοῖς νόμοις λατρεύων· ἐπειδὴ ἦλθεν αὐτῷ ἀπὸ τῶν οἴκοι τελῶν βοηθεῖν τῇ πατρίδι, ἐπείθετο τῇ πόλει οὐδὲν διαφερόντως, ἢ εἰ ἐν τῷ ἐφορείῳ ἔτυχεν ἑστηκὼς μόνος παρὰ τοὺς πέντε.

Ὁσάκις ἔμελλεν εἰς τὴν ἐκκλησίαν παριέναι ὁ Περικλῆς, ηὔχετο μηδὲν αὐτῷ ῥῆμα ἐπιπολάσαι τοιοῦτον, ὅπερ οὖν ἔμελλεν ἐκτραχύνειν τὸν δῆμον.

Φύσει πολλῶν ὄντων καὶ μεγάλων παθῶν ἐν τῷ Ἀλκιβιάδῃ τὸ φιλόνεικον ἰσχυρότατον ἦν, καὶ τὸ φιλόπρωτον.

Ὥσπερ τὸν Ἀγησίλαον ὁ Ξενοφῶν ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων, οὕτω δεῖ τὸ εὐφραῖνον καὶ χαριζόμενον ἡγεῖσθαι φιλικὸν, ἂν καὶ λυπεῖν ποτε δύνηται καὶ ἀντιτείνειν.

Δημοσθένης ὀνειδιζόμενος ὅτι πονηροῖς συνδιατρίβει ἐκεῖνος, ἔφη, ἄριστός ἐστιν ἰατρὸς, ὃς τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

Ἐξελθεῖν τοῦ βίου τὸν Ἰσοκράτην, οἱ μὲν ἐνναταῖον φασὶ, σίτων ἀποσχόμενον, οἱ δὲ τεταρταῖον, ἅμα ταῖς ταφαῖς τῶν ἐν Χαιρωνείᾳ πεσόντων.

Sokrates.

Τῶν Σωκράτην γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν· ἐμοὶ μὲν δὴ, (λέγει ὁ Ξενοφῶν) τοιοῦτος ὢν, οἷον ἐγὼ διήγημαι, (εὐσεβὴς μὲν οὕτως, ὥστε μηδὲν ἄνευ

τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δὲ, ὥςε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιςα τὲς χρωμένες ἑαυτῷ, ἐγκρατὴς δὲ, ὥςε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τῦ βελτίονος, Φρόνιμος δὲ, ὥςε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλε προσδεῖσθαι, ἀλλ' αὐτάρκης εἶναι πρὸς τὴν τέτων γνῶσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλες δοκιμάσαι τε καὶ ἁμαρτάνοντας ἐξελέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν,) ἐδόκει τοιῦτος εἶναι, οἷος ἂν εἴη ἄριςός γε ἀνὴρ καὶ εὐδαιμονέςατος· εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλε ἦθος πρὸς ταῦτα, ὅτω κρινέτω.

Er vertheidigt sich nicht.

Σωκράτες δὲ ἄξιόν μοι δοκεῖ εἶναι μεμνῆσθαι καὶ ὡς, ἐπειδὴ ἐκλήθη εἰς τὴν δίκην, ἐβελεύσατο περί τε τῆς ἀπολογίας καὶ τῆς τελευτῆς τῦ βίε. — Ἑρμογένης μέντοι ὁ Ἱππονίκε, ἑταῖρός τε ἦν αὐτῷ, καὶ ἐξήγγειλε περὶ αὐτῦ τοιαῦτα, ὥςε πρέπεσαν Φαίνεσθαι τὴν μεγαληγορίαν αὐτῦ τῇ διανοίᾳ· ἐκεῖνος γὰρ ἔφη, ὁρῶν αὐτὸν περὶ πάντων μᾶλλον διαλεγόμενον ἢ περὶ τῆς δίκης, εἰπεῖν· Οὐκ ἐχρῆν μέντοι σκοπεῖν, ὦ Σώκρατες, καὶ ὅ τι ἀπολογήσῃ; Τὸν δὲ τὸ πρῶτον ἀποκρίνασθαι, οὐ δοκῶ σοι ἀπολογεῖσθαι μελετῶν διαβεβιωκέναι; Ἔπειτα δ' αὐτὸν ἔρεσθαι, Πῶς; Ὅτι ἐδὲν ἄδικον διαγεγένημαι ποιῶν· ἥνπερ νομίζω μελέτην εἶναι καλλίςην ἀπολογίας.

Er spricht mit seinen Richtern.

Τίνα μὲν γὰρ ἐπίςασθε ἧσσον ἐμῦ δελεύοντα ταῖς τῦ σώματος ἐπιθυμίαις; τίνα δὲ ἀνθρώπων ἐλευθεριώτερον; ὃς παρ' ἐδενὸς ὅτε δῶρα ὅτε μισθὸν δέχομαι· δικαιότερον δὲ τίνα ἂν εἰκότως νομίσητε τῦ πρὸς τὰ παρόντα συνηρμοσμένε, ὡς τῶν ἀλλοτρίων μηδενὸς προσδεῖσθαι; σοφὸν δὲ πῶς ἐκ ἄν τις εἰκότως ἄνδρα Φήσειεν εἶναι, ὃς ἐξ ὅτεπερ ξυνιέναι τὰ λεγόμενα ἠρξάμην, ἐ πώποτε διέλιπον καὶ ζητῶν καὶ μανθάνων ὅ τι ἐδυνάμην ἀγαθόν;

Ὡς δὲ ꙋ̓ μάτην ἐπόυꙋν, ꙋ̓ δοκεῖ ὑμῖν καὶ τάδε τεκμήρια εἶναι, τὸ πολλꙋ̀ς μὲν πολίτας τῶν ἀρετῆς ἐφιεμένων, πολλꙋ̀ς δὲ ξένων, ἐκ πάντων προαιρεῖσθαι ἐμοὶ ξυνεῖναι; ἐκείνꙋ δὲ τί φήσομεν αἴτιον εἶναι, τꙋ͂ πάντας εἰδέναι, ὅτι ἐγὼ ἥκιςα ἔχοιμι χρήματα ἀντιδιδόναι, ὅμως πολλꙋ̀ς ἐπιθυμεῖν ἐμοί τι δωρεῖσθαι; τὸ δ' ἐμὲ μὲν μηδ' ὑφ' ἑνὸς ἀπαιτεῖσθαι εὐεργεσίαν, ἐμοὶ δὲ πολλꙋ̀ς ὁμολογεῖν χάριτας ὀφείλειν;

Er spricht mit seinem Ankläger Melitus.

Ἀλλ' ὅμως σύ με φῂς, ὦ Μέλιττε, τοιαῦτα ἐπιτηδεύοντα τꙋ̀ς νέꙋς διαφθείρειν; Καίτοι ἐπιςάμεθα μὲν δήπꙋ, τίνες εἰσὶ νέων διαφθοραί· σὺ δ' εἰπὲ, εἴ τινα οἶσθα ὑπ' ἐμꙋ͂ γεγενημένον ἢ ἐξ εὐσεβꙋ͂ς ἀνόσιον, ἢ ἐκ σώφρονος ὑβριςὴν, ἢ ἐξ εὐδιαίτꙋ πολυδάπανον, ἢ ὡς ἐκ μετριοπότꙋ οἰνόφλυγα, ἢ ἐκ φιλοπόνꙋ μαλακὸν, ἢ ἄλλης πονηρᾶς ἡδονῆς ἡσσημένον. Ἀλλὰ ναὶ μὰ Δία, ἔφη ὁ Μέλιτος, ἐκείνꙋς οἶδα, ꙋ̔̀ς σὺ πέπεικάς σοι πείθεσθαι μᾶλλον, ἢ τοῖς γειναμένοις. Ὁμολογῶ, φάναι τὸν Σωκράτην, περί γε παιδείας· τꙋ͂το γὰρ ἴσασιν ἐμοὶ μεμεληκός· περὶ δὲ ὑγιείας τοῖς ἰατροῖς μᾶλλον οἱ ἄνθρωποι πείθονται, ἢ τοῖς γονεῦσι· καὶ ἐν ταῖς ἐκκλησίαις γε πάντως οἱ Ἀθηναῖοι πάντες δήπꙋ τοῖς φρονιμώτατα λέγꙋσι πείθονται μᾶλλον, ἢ τοῖς προσήκꙋσιν.

Οὐ γὰρ δὴ καὶ ςρατηγꙋ̀ς αἱρεῖσθε καὶ πρὸ πατέρων καὶ ἀδελφῶν, καὶ ναὶ μὰ Δία γε ὑμεῖς πρὸ ὑμῶν αὐτῶν, ꙋ̔̀ς ἂν ἡγῆσθε περὶ τῶν πολεμικῶν φρονιμωτάτꙋς εἶναι; Οὕτω γὰρ, φάναι τὸν Μέλιττον, ὦ Σώκρατες, καὶ συμφέρει καὶ νομίζεται. Οὔκꙋν, εἰπεῖν τὸν Σωκράτην, θαυμαςὸν καὶ τꙋ͂τό σοι δοκεῖ εἶναι, τὸ ἐν μὲν ταῖς ἄλλαις πράξεσι μὴ μόνον ἰσομοιρίας τυγχάνειν τꙋ̀ς κρατίςꙋς, ἀλλὰ καὶ προτετιμῆσθαι· ἐμὲ δὲ, ὅτι περὶ τꙋ͂ μεγίςꙋ ἀγαθꙋ͂ ἀνθρώποις περὶ παιδείας βέλτιςος εἶναι ὑπό τινων προκρίνομαι, τꙋ́τꙋ ἕνεκα θανάτꙋ ὑπὸ σꙋ͂ διώκεσθαι;

Er geht heiter von seinen Richtern.

Εἰπὼν δὲ ταῦτα, μάλα ὁμολογȣμένως δὴ τοῖς εἰρημένοις ἀπήει καὶ ὄμμασι καὶ σχήματι καὶ βαδίσματι φαιδρός. Ὡς δὲ ᾔσθετο ἄρα τȣ̀ς παρεπομένȣς δακρύοντας, τί τȣ̃το; εἰπεῖν αὐτὸν, ἢ ἄρτι δακρύετε; ȣ̓ γὰρ πάλαι ἴστε ὅτι, ἐξ ὅτȣ περ ἐγενόμην, κατεψηφισμένος ἦν μȣ ὑπὸ τῆς φύσεως ὁ θάνατος; ἀλλὰ μέντοι, εἰ μὲν ἀγαθῶν ἐπιῤῥεόντων προαπόλλυμαι, δῆλον ὅτι ἐμοὶ καὶ τοῖς ἐμοῖς εὔνοις λυπητέον· εἰ δὲ χαλεπῶν προσδοκωμένων καταλύω τὸν βίον, ἐγὼ μὲν οἶμαι, ὡς εὐπραγȣ̃ντος ἐμȣ̃, πᾶσιν ὑμῖν εὐθυμητέον εἶναι. Παρὼν δέ τις Ἀπολλόδωρος, ἐπιθυμητὴς μὲν ἰσχυρῶς αὐτȣ̃, ἄλλως δὲ εὐήθης, εἶπεν· Ἀλλὰ τȣ̃το ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα· τὸν δὲ λέγεται καταψήσαντα αὐτȣ̃ τὴν κεφαλὴν εἰπεῖν· Σὺ δὲ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον ἂν ἐβȣ́λȣ με ὁρᾷν δικαίως ἢ ἀδίκως ἀποθνήσκοντα; καὶ ἅμα ἐπιγελάσαι.

Σωκράτης δὲ διὰ τὸ μεγαλύνειν ἑαυτὸν ἐν τῷ δικαστηρίῳ, φθόνον ἐπαγόμενος, μᾶλλον καταψηφίσασθαι ἑαυτȣ̃ ἐποίησε τȣ̀ς δικαστάς· ἐμοὶ μὲν ȣ̂ν δοκεῖ θεοφιλȣ̃ς μοίρας τετυχηκέναι· τȣ̃ μὲν γὰρ βίȣ τὸ χαλεπώτατον ἀπέλιπε, τῶν δὲ θανάτων τȣ̃ ῥᾴστȣ ἔτυχεν. Ἐπεδείξατο δὲ τῆς ψυχῆς τὴν ῥώμην· ἐπεὶ γὰρ ἔγνω τȣ̃ ἔτι ζῆν τὸ τεθνάναι αὐτῷ κρεῖσσον εἶναι, ὥσπερ ȣ̓δὲ πρὸς τ᾽ ἄλλα τἀγαθὰ προσάντης ἦν, ȣ̓δὲ πρὸς τὸν θάνατον ἐμαλακίσατο, ἀλλ᾽ ἱλαρῶς καὶ προσεδέχετο αὐτὸν καὶ ἐπετελέσατο. Ἐγὼ μὲν δὴ κατανοῶν τȣ̃ ἀνδρὸς τήν τε σοφίαν καὶ τὴν γενναιότητα, ȣ̆́τε μὴ μεμνῆσθαι δύναμαι αὐτȣ̃, ȣ̆́τε μεμνημένος μὴ ȣ̓κ ἐπαινεῖν· εἰ δέ τις τῶν ἀρετῆς ἐφιεμένων ὠφελιμωτέρῳ τινὶ Σωκράτȣς συνεγένετο, ἐκεῖνον ἐγὼ τὸν ἄνδρα ἀξιομακαριστότατον νομίζω.

Des älteren Cyrus Geburt und Erziehung.

Πατρὸς μὲν δὴ λέγεται Κῦρος γενέσθαι Καμβύσȣ, Περσῶν βασιλέως· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀςυάγȣς ἦν θυγάτηρ, τῶν Μήδων γενομένȣ βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιςος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέςατος, καὶ φιλοτιμότατος, ὥςε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τȣ̃ ἐπαινεῖσθαι ἕνεκα. Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. Οὗτοι δὲ δοκȣ̃σιν οἱ νόμοι ἄρχεσθαι τȣ̃ κοινȣ̃ ἀγαθȣ̃ ἐπιμελȣ́μενοι· ȣ̓χ ὁμοίως γὰρ ταῖς πλείςαις πόλεσιν ἄρχονται.

Erziehung der persischen Kinder.

Οἱ μὲν δὴ παῖδες, εἰς τὰ διδασκαλεῖα φοιτῶντες, διάγȣσι μανθάνοντες δικαιοσύνην· καὶ λέγȣσιν, ὅτι ἐπὶ τȣ̃το ἔρχονται, ὥσπερ παρ᾽ ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν διατελȣ̃σι τὸ πλεῖςον τῆς ἡμέρας δικάζοντες αὐτοῖς· (γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλȣς, ὥσπερ ἀνδράσιν, ἐγκλήματα καὶ κλοπῆς, καὶ ἁρπαγῆς, καὶ βίας, καὶ ἀπάτης, καὶ κακολογίας, καὶ ἄλλων, οἵων δὴ εἰκός) ȣ̃ς δ᾽ ἂν γνῶσι τȣ́των τὶ ἀδικȣ̃ντας, τιμωρȣ̃νται. Κολάζȣσι δὲ καὶ ἐγκλήματος, ȣ̃ ἕνεκα ἄνθρωποι μισȣ̃σι μὲν ἀλλήλȣς μάλιςα, δικάζονται δὲ ἥκιςα, ἀχαριςίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζȣσι τοιȣ̃τον ἰσχυρῶς. Οἴονται γὰρ, τȣ̀ς ἀχαρίςȣς καὶ περὶ θεȣ̀ς ἂν μάλιςα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ πατρίδα, καὶ φίλȣς. Ἕπεσθαι δὲ δοκεῖ μάλιςα τῇ ἀχαριςίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίςη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών.

Διδάσκȣσι δὲ τȣ̀ς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτȣ̀ς, ὅτι καὶ τȣ̀ς πρεσβυτέρȣς ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκȣσι δὲ αὐτȣ̀ς καὶ πείθεσθαι τοῖς ἄρχȣσι·

μέγα δὲ καὶ εἰς τῦτο συμβάλλεται, ὅτι ὁρῶσι τὺς πρεσβυτέρυς πειθομένυς τοῖς ἄρχυσιν ἰσχυρῶς. Διδάσκυσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαςρὸς καὶ ποτῦ. μέγα δὲ καὶ εἰς τῦτο συμβάλλεται, ὅτι ὁρῶσι τὺς πρεσβυτέρυς ὐ πρόσθεν ἀπιόντας γαςρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι ὐ παρὰ μητρὶ σιτῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, ἄρτυς, ὄψον δὲ, κάρδαμον· πιεῖν δὲ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τῦ ποταμῦ ἀρύσασθαι· Πρὸς δὲ τύτοις, μανθάνωσι τοξεύειν καὶ ἀκοντίζειν.

Cyrus kommt zu seinem Grosvater.

Κῦρος μὲν μέχρι δώδεκα ἐτῶν, ἢ ὀλίγῳ πλεῖον, ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο, καὶ εἰς τὸ ταχὺ μανθάνειν ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαςα ποιεῖν. Ἐκ δὲ τύτυ τῦ χρόνυ μετεπέμψατο Ἀςυάγης τὴν ἑαυτῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκυε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχυσα.

Ὡς δὲ ἀφίκετο τάχιςα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀςυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόςοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ, καὶ χρώματος ἐντρίψει, καὶ κόμαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις, — ὁρῶν δὴ τὸν κόσμον τῦ πάππυ, ἐμβλέπων αὐτῷ, ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος! Ἐρωτώσης δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι, ὁ πατὴρ, ἢ ὗτος· ἀπεκρίνατο ἄρα ὁ Κῦρος, Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιςος ὁ ἐμὸς πατήρ· Μήδων μέντοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις, πολὺ ὗτος ὁ ἐμὸς πάππος κάλλιςος.

Ἀσπαζόμενος δὲ αὐτὸν ὁ Ἀςυάγης, καὶ ςολὴν καλὴν ἐνέδυσε, καὶ ςρεπτοῖς καὶ ψελλίοις ἐτίμα καὶ ἐκόσμει· καὶ, εἴ πυ ἐξελαύνετο, ἐφ' ἵππυ χρυσυχαλίνυ περιῆγεν, ὥσπερ

καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ ςολῇ, καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ, διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππȣς καὶ ἱππεύειν, ἐν ὀρεινῇ ὄσῃ τῇ χώρᾳ, καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν.

Δειπνῶν δὲ ὁ Ἀςυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βȣλόμενος τὸν παῖδα ὡς ἥδιςα δειπνεῖν, ἵνα ὡς ἧσσον τὰ οἴκαδε ποθοίη, προσήγαγον αὐτῷ καὶ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τȣ́των τῶν παντοδαπῶν βρωμάτων. Τί δὲ; φάναι τὸν Ἀςυάγην· ȣ̓ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τȣ̃ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται, Οὐχὶ, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλȣςέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐςιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ παρ' ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τȣ̃το ἄγει· ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλȣ̀ς δέ τινας ἑλιγμȣ̀ς ἄνω καὶ κάτω πλανώμενοι, μόλις ἀφικνεῖσθε, ὅποι ἡμεῖς πάλαι ἥκομεν.

Der Knabe Cyrus ist Lehrer der Gerechtigkeit.

Ἐπειδὴ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιȣ̃σα πάλιν πρὸς τὸν ἄνδρα, διηρώτα τὸν Κῦρον, πότερα βȣ́λοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ ȣ̓κ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βȣ́λοιτο. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ' ὦ μῆτερ, ἀκριβῶς ταύτην γε οἶδα. Πῶς σὺ οἶσθα; εἰπεῖν τὴν Μανδάνην. Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβȣ̃ντα τὴν δικαιοσύνην, καὶ ἄλλοις καθίςη δικάζειν. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς ȣ̓κ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε.

Παῖς μέγας, μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα χιτῶνα, ἐκδύσας αὐτὸν, τὸν μὲν ἑαυτȣ̃ ἐκεῖνον ἠμφίεσε, τὸν δὲ ἐκείνȣ αὐτὸς ἐνέδυ. Ἐγὼ

γȢν, τȢτοις δικάζων, ἔγνων, βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον ἔχειν χιτῶνα. Ἐν δὲ τȢτῳ με ἔπαισεν ὁ διδάσκαλος, λέγων, ὅτι, ὁπότε μὲν καταςαθείην τȢ ἁρμόττοντος κριτὴς, ȣ̔́τω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι, ὁποτέρȣ ὁ χιτὼν εἴη, τȢτ᾽ ἔφη σκεπτέον εἶναι, τίς κτῆσίς δικαία ἐςί· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη, τὸ μὲν νόμιμον δίκαιον εἶναι· τὸ δὲ ἄνομον, βίαιον. Σὺν τῷ νόμῳ ȣ̓̃ν ἐκέλευεν ἀεὶ τὸν δικαςὴν τὴν ψῆφον τίθεσθαι· Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τά γε δίκαια παντάπασιν ἤδη ἀκριβῶ· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, ȣ̔̃τος ἐπιδιδάξει.

Cyrus bleibt bey seinem Grosvater.

Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτȢ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥςε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τȣ̀ς πατέρας αὐτῶν ἀνήρτητο, προσιὼν, καὶ ἔνδηλος ὢν, ὅτι ἠσπάζετο αὐτῶν τȣ̀ς υἱεῖς· ὥςε καὶ, εἴ τι τȢ βασιλέως δέοιντο, τȣ̀ς παῖδας ἐκέλευον Κύρȣ δεῖσθαι, διαπράξεσθαι σφίσιν. Ὁ δὲ Κῦρος, ὅ τι δέοιντο αὐτȢ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν καὶ φιλοτιμίαν περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι. — Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τȢ διδασκάλȣ καὶ διδόναι λόγον, ὧν ἐποίει, καὶ λαμβάνειν παρ᾽ ἄλλων, ὅποτε δικάζοι· ἔτι δὲ καὶ, διὰ τὸ φιλομαθὴς εἶναι, πολλὰ μὲν αὐτὸς ἀεὶ τȣ̀ς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι. — Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν, σὺν τῷ μεγέθει, εἰς ὥραν τȢ πρόσηβον γενέσθαι, ἐν τȢτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρα· αἰδȢς δὲ ἐνεπίμπλατο, ὥςε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις.

Sparta.

Sparta. Lykurgus.

Ἀλλ' ἐγὼ, ἐννοήσας ποτὲ, ὡς ἡ Σπάρτη, τῶν ὀλιγανθρωποτάτων πόλεων οὖσα, δυνατωτάτη τε καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη, ἐθαύμασα, ὅτῳ ποτὲ τρόπῳ τοῦτο ἐγένετο· ἐπεὶ μέντοι κατενόησα τὰ ἐπιτηδεύματα τῶν Σπαρτιατῶν, οὐκ ἔτι ἐθαύμαζον. Λυκοῦργον μέντοι, τὸν θέντα αὐτοῖς τοὺς νόμους, οἷς πειθόμενοι ηὐδαιμόνησαν, τοῦτον καὶ θαυμάζω, καὶ εἰς τὰ ἔσχατα μάλα σοφὸν ἡγοῦμαι· ἐκεῖνος γὰρ, οὐ μιμησάμενος τὰς ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία γνοὺς ταῖς πλείσταις, προέχουσαν εὐδαμονίᾳ τὴν πατρίδα ἐπέδειξεν.

Erziehung der spartanischen Kinder.

Τῶν μὲν τοίνυν ἄλλων Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα ξυνιῶσιν, εὐθὺς μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσι, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων, μαθησομένους καὶ γράμματα, καὶ μουσικὴν, καὶ τὰ ἐν παλαίστρᾳ. Πρὸς δὲ τούτοις, τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἁπαλύνουσιν, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι· σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. Ὁ δὲ Λυκοῦργος ἀντὶ μὲν τοῦ ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν, ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται. Τοῦτον δὲ κύριον ἐποίησε, καὶ ἀθροίζειν τοὺς παῖδας, καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. Ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι.

Ἀντί γε μὴν τοῦ ἁπαλύνειν τοὺς πόδας ὑποδήμασιν, ἔταξεν, ἀνυποδησίᾳ κρατύνειν· νομίζων, εἰ τοῦτ' ἀσκήσειαν, πολὺ μὲν ῥᾷον ἂν ὀρθιάδε βαίνειν, ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν· καὶ πηδῆσαι, καὶ ἀναθορεῖν, καὶ δραμεῖν θᾶττον ἀνυπόδετον, εἰ ἠσκηκὼς εἴη τοὺς πόδας, ἢ ὑποδεδεμένον. Καὶ ἀντί γε τοῦ ἱματίοις διαθρύπτεσθαι, ἐνόμισεν, ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι· νομίζων, οὕτω καὶ πρὸς ψύχη, καὶ πρὸς θάλπη ἄμεινον ἂν παρασκευά-

σθαι. Σῖτόν γε μὴν τοσῦτον ἔχειν συνεβούλευεν, ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν· νομίζων, τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἂν, εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα.

Der Spartaner Ehrerbietung gegen die Obrigkeit.

Ἀλλὰ γὰρ, ὅτι μὲν ἐν Σπάρτῃ μάλιστα πείθονται ταῖς ἀρχαῖς τε καὶ τοῖς νόμοις, ἴσμεν ἅπαντες· ἐγὼ μέντοι οὐδ' ἐγχειρῆσαι οἶμαι πρότερον τὸν Λυκοῦργον, ταύτην τὴν εὐεξίαν καθιστάναι, πρὶν ὁμογνώμονας ἐποιήσατο τοὺς κρατίστους τῶν ἐν τῇ πόλει. Τεκμαίρομαι δὲ ταῦτα, ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσιν οἱ δυνατώτεροι οὔτε βούλονται δοκεῖν τὰς ἀρχὰς φοβεῖσθαι, ἀλλὰ νομίζουσι, τοῦτο ἀνελεύθερον εἶναι· ἐν δὲ τῇ Σπάρτῃ οἱ κράτιστοι καὶ ὑπέρχονται μάλιστα τὰς ἀρχὰς, καὶ τῷ ταπεινοὶ εἶναι μεγαλύνονται, καὶ τῷ ὅταν καλῶνται, τρέχοντες, ἀλλὰ μὴ βαδίζοντες ὑπακούειν, νομίζοντες, ἢν αὐτοὶ κατάρχωσι τοῦ σφόδρα πείθεσθαι, ἕψεσθαι καὶ τοὺς ἄλλους· ὅπερ καὶ γεγένηται.

Ein ehrenvoller Tod ist besser, als ein schändliches Leben.

Ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, τὸ κατεργάσασθαι ἐν τῇ πόλει, αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου· καὶ γὰρ δὴ ἐπισκοπῶν τις ἂν εὕροι μείους ἀποθνήσκοντας τούτων, τῶν ἐκ τοῦ φοβεροῦ ἀποχωρεῖν αἱρουμένων. Ὡς ἀληθὲς εἰπεῖν, καὶ ἕπεται τῇ ἀρετῇ σώζεσθαι, εἰς τὸν πλείω χρόνον μᾶλλον, ἢ τῇ κακίᾳ· καὶ γὰρ ῥᾴων, καὶ ἡδίων, καὶ εὐπορωτέρα. Δῆλον δὲ, ὅτι καὶ εὔκλεια μάλιστα ἕπεται τῇ ἀρετῇ· καὶ γὰρ συμμαχεῖν πως πάντες τοῖς ἀγαθοῖς βούλονται. Ἧι μέντοι, ὥστε ταῦτα γίγνεσθαι, ἐμηχανήσατο, καὶ τοῦτο καλὸν μὴ παραλιπεῖν. Ἐκεῖνος τοίνυν σαφῶς παρεσκεύασε τοῖς μὲν ἀγα-

θοῖς εὐδαιμονίαν, τοῖς δὲ κακοῖς κακοδαιμονίαν. Ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσιν, ὁπόταν τις κακὸς γένηται, ἐπίκλησιν μόνον ἔχει, κακὸς εἶναι· ἀγοράζει δὲ ἐν τῷ αὐτῷ ὁ κακὸς τἀγαθῷ, καὶ κάθηται καὶ γυμνάζεται, ἐὰν βέληται· ἐν δὲ τῇ Λακεδαίμονι πᾶς μὲν ἂν τις αἰσχυνθείη, τὸν κακὸν σύσκηνον παραλαβεῖν, πᾶς δ᾽ ἂν ἐν παλαίσματι συγγυμναςήν.

Ehrerbietung gegen den König.

Καὶ ἕδρας δὲ πάντες ὑπανίςανται βασιλεῖ, πλὴν οἱ ἔφοροι ἀπὸ τῶν ἐφορικῶν δίφρων. Καὶ ὅρκες δὲ ἀλλήλοις κατὰ μῆνα ποιȣ̃νται, ἔφοροι μὲν ὑπὲρ τῆς πόλεως, βασιλεὺς δ᾽ ὑπὲρ ἑαυτȣ̃. Ὁ δὲ ὅρκος ἐςὶ τῷ μὲν βασιλεῖ, κατὰ τὰς τῆς πόλεως κειμένȣς νόμȣς βασιλεύειν· τῇ δὲ πόλει, ἐμπεδορκȣ̃ντος ἐκείνȣ ἀςυφέλικτον τὴν βασιλείαν παρέξειν. Αὗται μὲν ȣ̃ν αἱ τιμαὶ οἴκοι ζῶντι βασιλεῖ δέδονται, ȣ̓δέν τι πολὺ ὑπερφέρȣσαι τῶν ἰδιωτικῶν· ȣ̓ γὰρ ἐβȣλήθη, ȣ̓́τε τοῖς βασιλεῦσι τυραννικὸν φρόνημα παραςῆσαι, ȣ̓́τε τοῖς πολίταις φθόνον ἐμποιῆσαι τῆς δυνάμεως· αἱ δὲ τελευτήσαντι τιμαὶ βασιλεῖ δέδονται, τῇδε βȣ́λονται δηλȣ̃ν οἱ Λυκȣ́ργȣ νόμοι, ὅτι ȣ̓χ ὡς ἀνθρώπȣς, ἀλλ᾽ ὡς ἥρωας τȣ̀ς Λακεδαιμονίων βασιλεῖς προτετιμήκασιν.

Lykurgs Geseze wegen des Gelderwerbs.

Ἐναντία γε μὴν καὶ τάδε τοῖς ἄλλοις Ἕλλησι κατέςησεν ὁ Λυκȣ̃ργος ἐν τῇ Σπάρτῃ νόμιμα. Ἐν μὲν γὰρ δήπȣ ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται, ὅσον δύνανται· ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δὲ ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται. Ἐν δὲ τῇ Σπάρτῃ ὁ Λυκȣ̃ργος τοῖς μὲν ἐλευθέροις τῶν μὲν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι· ὅσα δ᾽ ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξε μόνα ἔργα αὐτῶν νομίζειν. Καὶ γὰρ δὴ τί πλȣ̃τος ἐκεῖ γε σπȣδαςέος, ἔνθα, ἴσα μὲν φέρειν εἰς τὰ ἐπιτήδεια, ὁμοίως δὲ διαιτᾶσθαι τάξας, ἐποίησε, μὴ ἡδυπαθείας ἕνεκα χρημάτων ὀρέγε-

σθαι; Ἀλλὰ μὴν ἐδ᾽ ἱματίων γε ἕνεκα χρηματιςέον· ἐ γὰρ ἐσθῆτος πολυτελείᾳ, ἀλλὰ σώματος εὐεξίᾳ κοσμἔνται. Οὐδὲ μὴν τἕ γε εἰς τὰς συσκήνες ἕνεκα τἕ ἔχειν δαπανᾷν χρήματα ἀθροιςέον, ἐπεὶ τὸ τῷ σώματι πονἕντα ὠφελεῖν τὰς συνόντας εὐδοξότερον ἐποίησεν, ἢ τὸ δαπανῶντα, ἐπιδείξας τὸ μὲν ψυχῆς, τὸ δὲ πλἕτε ἔργον. Τό γε μὴν ἐξ ἀδίκων χρηματίζεσθαι, καὶ ἐν τοῖς τοιἕτοις διεκώλυσε. Πρῶτον μὲν γὰρ νόμισμα τοιἕτον κατεςήσατο, ὃ, δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν, ἔποτε δεσπότας, ἔτε οἰκέτας λάθοι· καὶ γὰρ χώρας μεγάλης καὶ ἁμάξης ἀγωγῆς δέοιτ᾽ ἄν. Χρυσίον γε μὴν καὶ ἀργύριον ἐρευνᾶται, καὶ, ἄν τί πε φανῇ, ὁ ἔχων ζημιἕται. Τί ἐν ἐκεῖ χρηματισμὸς σπεδάζοιτο, ἔνθα ἡ κτῆσις πλείες λύπας, ἢ ἡ χρῆσις εὐφροσύνας παρέχει;

Freuden und Vortheile des Landbaues.

Τῆς γεωργίας ἐδὲ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκε αὔξησις καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. Πρῶτον μὲν γὰρ ἀφ᾽ ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις· καὶ ἀφ᾽ ὧν τοίνυν ἡδυπαθἕσι, προσεπιφέρει. ἔπειτα δὲ, ὅσα κοσμἕσι βωμὲς καὶ ἀγάλματα, καὶ οἷς αὐτοὶ κοσμἕνται, καὶ ταῦτα μετὰ ἡδίςων ὀσμῶν καὶ θεαμάτων, παρέχει. Ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· καὶ γὰρ ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥςε ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας, καὶ αὐτὲς χρῆσθαι. παρέχεσα δὲ ἀφθονώτατα ἀγαθὰ, ἐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρες ἐθίζει καρτερεῖν· καὶ τὲς μὲν αὐτεργὲς διὰ τῶν χειρῶν γυμνάζεσα, ἰσχὺν αὐτοῖς προστίθησι, τὲς δὲ τῇ ἐπιμελείᾳ γεωργἕντας ἀνδρίζει πρωΐ τε ἐγείρεσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζεσα· καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν.

Der jüngere Cyrus beschäftigt sich mit dem Landbau.

Ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, Κῦρος γε, εἰ ἐβίωσεν, ἄριςος ἂν δοκῇ ἄρχων γενέσθαι· καὶ τȣτȣ τεκμήρια ἄλλα τε πολλὰ παρέσχηται, καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπορεύετο μαχȣμενος, παρὰ μὲν Κύρȣ ȣδεὶς λέγεται αὐτομολῆσαι πρὸς τὸν βασιλέα, παρὰ δὲ τȣ̃ βασιλέως πολλαὶ μυριάδες πρὸς Κῦρον. Ἐγὼ δὲ καὶ τȣ̃το ἡγȣ̃μαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται, καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ἐκείνῳ δὲ καὶ οἱ φίλοι ζῶντί τε συνεμάχοντο, καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι, πλήν γε Ἀριαίȣ. Οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ, ὅτε ἦλθεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι (ὡς αὐτὸς ἔφη ὁ Λύσανδρος ξένῳ ποτέ τινι ἐν Μεγάροις διηγȣ́μενος) καὶ τὸν ἐν Σάρδεσι παράδεισον ἐπιδεικνύναι αὐτὸν ἔφη. Ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν ὁ Λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, δι' ἴσȣ δὲ τὰ πεφυτευμένα, ὀρθοὶ δὲ οἱ ςίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατȣ̃σι· καὶ ταῦτα θαυμάζων εἶπεν.

Ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τȣ̃ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαςα τȣ́των. Ἀκȣ́σαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε καὶ εἰπεῖν. Ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ ἐμέτρησα καὶ διέταξα· ἔςι δ' αὐτῶν, φάναι, ἃ καὶ ἐφύτευσα αὐτός. Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν, καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε, καὶ τῆς ὀσμῆς αἰσθόμενος, καὶ τῶν ςρεπτῶν καὶ τῶν ψελλίων τὸ κάλλος καὶ τȣ̃ ἄλλȣ κόσμȣ ȣ̔̃ εἶχεν, εἰπεῖν· Τί λέγεις, φάναι, ὦ Κῦρε· ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τȣ́των τι ἐφύτευσας; Καὶ τὸν Κῦρον ἀποκρίνασθαι, Θαυμάζεις τȣ̃το; ἔφη, ὦ Λύσανδρε· ὄμνυμί σοι τὸν Μίθρην, ὅτάν περ ὑγιαίνω, μὴ πώποτε δειπνῆσαι,

πρὶν ἱδρῶσαι ἤ τῶν πολεμικῶν τι ἤ τῶν γεωργικῶν ἔργων μελετῶν ἤ ἄλλων γέ τι φιλοτιμέμενος. Καὶ αὐτὸς μέντοι, ἔφη ὁ Λύσανδρος, ἀκέσας ταῦτα, δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν, Δικαίως μοι δοκεῖς, ἔφη, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς.

Erklärung

der in dem Lesebuche vorkommenden Wörter.

A.

Ἀ-βέβαιος, ὁ, ἡ, unbeständig, unzuverläßig.

Ἀ-βȣ́λητος, ὁ, ἡ, nicht nach unserm Willen.

Ἀγαθὸς, ἡ, ὸν, gut in jeder Art; tugendhaft, rechtschaffen, tapfer. τὸ ἀγαθὸν, τὰ ἀγαθὰ, Gut, Güter, Vermögen.

Ἄγαλμα, ατος, τὸ, Bild, Götterbild, Statue.

Ἄγαμαι, a. 1. ἠγάσθην, Part. ἀγασθεὶς, a. 1. M. ἠγασάμην. bewundern, verehren.

Ἀγαμέμνων kommandirte das griechische Heer vor Troja.

Ἄγαν, sehr, zu sehr.

Ἀγαν-ακτέω, unwillig, unzufrieden werden.

Ἀγαπάω, hochschäzen, verehren, lieben; zufrieden seyn.

Ἀγγελία, ἡ, Botschaft, Nachricht.

Ἄγγελος, ὁ, der Bote.

Ἄγε, wohlan, je nun, siehe zu.

Ἀ-γενὴς, ὁ, ἡ, niedrig von Geburt und Gesinnung.

Ἄ-γευστος, ὁ, ἡ, nicht kostend.

Ἀ-γήρατος, ὁ, ἡ, nicht alternd, unversehrt.

Ἀγησίλαος, ȣ, ein König in Sparta und Feldherr.

Ἁγιάζω, σω, heiligen.

Ἅγιος, ία, ον, heilig.

Ἆγις, ein König zu Lacedämon.

Ἀ-γνοέω, ήσω, nicht wissen, nicht einsehen.

Ἀ-γνώμων, ονος, ὁ, ἡ, unverständig, unüberlegt, unerkenntlich. Compar. ἀγνωμονέστερος, Superl. —στατος.

Ἀγορὰ, ἡ, Marktplaz, öffentlicher Ort.

Ἀγοράζω, auf dem Markte seyn, kaufen oder verkaufen.

Ἄγριος, ία, ον, wild.

Ἀγροικία, ἡ, Grobheit.

Ἀγρὸς, ὁ, Feld, Land, Landgut.

Ἄγω, ξω, P. ἦχα, a. 2. ἤγαγον, leiten, führen. ἡσυχίαν ἄγειν, ruhen, stille seyn.

Ἀγωγὴ, ἡ, Lebensart. ἀγωγὴ ἁμάξης, das Herbeyführen auf einem Wagen.

Ἀγωγὸς, ὁ, ἡ, der gut leiten, anführen kann.

'Αγὼν, ῶνος, ὁ, Kampf, Wettkampf, Gefahr.

'Αγωνιάω, sich fürchten.

'Αγωνίζομαι, kämpfen; einen Wettkampf mit einem andern eingehen. οἱ ἀγωνιζόμενοι ἐπ' ἀγορᾶς, welche gerichtliche Sachen verhandelten. ἀπὸ τȣ̃ βήματος ἀγ. die Rednerbühne betretten.

'Α-δακρυτὶ, ohne Thränen.

'Αδάμας, αντος, ὁ, der Diamant.

'Αδελφὸς, ȣ̃, ὁ, der Bruder.

'Α-δεῶς, ohne Furcht.

'Α-δηλος, ὁ, ἡ, ungewiß, unbekannt.

'Αιδης (lies ᾅδης,) ȣ, ὁ, die Unterwelt. ἐν ᾅδȣ (δώματι) in der Unterwelt.

'Α-διάλυτος, ὁ, ἡ, unauflösslich.

'Α-διάφθορος, ὁ, ἡ, unverdorben.

'Α-δικέω, ήσω, ungerecht handeln, beleidigen. Pass. Unrecht leiden.

'Α-δικία, ἡ, Ungerechtigkeit.

'Α-δικος, ὁ, ἡ, ungerecht. -ως, unverdient.

'Α-δοξία, ἡ, Ruhmlosigkeit, Schande.

'Α-δοξος, ὁ, ἡ, unberühmt, unrühmlich.

'Α-δύνατος, ὁ, ἡ, unvermögend, schwach. ἀδύνατον, es ist unmöglich. τὸ ἀδύνατον, das Unmögliche.

Ἄιδω, (ᾄδω) ᾄσω, singen, preisen.

'Αεὶ, stets, immer.

'Αετὸς, ὁ, der Adler.

'Α-ζήμιος, ὁ, ἡ, ohne Strafe, ohne Schaden.

'Α-ηδής, ὁ, ἡ, unangenehm, eckelhaft. -ῶς, armselig, schlecht.

'Αὴρ, έρος, ὁ, Luft, Witterung.

'Α-ήττητος, ὁ, ἡ, unbesiegbar.

'Α-θανασία, ἡ, Unsterblichkeit.

'Α-θάνατος, ὁ, ἡ, unsterblich, ewig.

'Α-θέατος, ὁ, ἡ, unsichtbar; nicht sehend.

'Α-θεος, ὁ, ἡ, ein Atheist; gottlos.

'Αθῆναι, αἱ, Athen. 'Αθηναῖος, αία, ον, ein Athener, athenisch.

'Αθλητὴς, ȣ̃, ὁ, Athlet, Fechter.

'Αθλιος, ία, ον, Kampf= oder Mühevoll, mühselig.

'Αθλιότης, ητος, ἡ, Mühseligkeit, Leiden.

'Αθλον, τὸ, Kampfpreiß, Belohnung.

'Αθροίζω, σω, sammeln.

'Α-θυμέω, muthlos, Hoffnungslos seyn.

'Α-θυμία, ἡ, Muthlosigkeit, Feigheit, Mißmuth.

Aἶ, ein Ausruf des Schmerzens u. dergl.

Αἴγινα, ἡ, eine Insel nahe bey Athen. Αἰγινῆται, die Einwohner daselbst.

Αἰγύπτιος, ein Egyptier.

Αἰδέομαι, sich schämen, erröthen; Hochachtung haben.

Αἰδεςὸς, ἡ, ὀν, verehrungswürdig.

Αἰδημόνως ἔχειν, verschämt, schamhaft seyn.

Αἰδὼς, έος, ȣ̃ς, ἡ, die Schaam, Ehrfurcht.

Αἰκίζω und αἰκίζομαι, schimpflich, schmählich behandeln.

Αἰνίττομαι, mit einem Winke etwas zu verstehen geben.

Αἴξ, αἰγὸς, ἡ, die Ziege.

Αἵρεσις, εως, ἡ, die Wahl.

Αἱρετὸς, ἡ, ὀν, zu wählen, zu wünschen.

Αἱρέω, ήσω, a. 2. εἷλον, einnehmen, erobern, fangen. Med für sich wählen. a 2. Inf. ἑλέσθαι. μᾶλλον αἱρεῖσθαι, lieber wollen.

Αἴρω, f. ἀρῶ, heben, erheben. a. 1. Part. P. ἀρθεὶς.

Αἰσθάνομαι, αἰσθήσομαι, a. 2. ᾐσθόμην, fühlen, empfinden; bemerken.

Αἴσθησις, εως, ἡ, die Empfindung.

Αἰσχίνης, ein Schüler Sokrates.

Αἰσχίων, ὁ, ἡ, Compar. von αἰσχρός.

Αἰσχρὸς, ὰ, ὸν, häßlich, schändlich, lasterhaft. τὸ αἰσχρὸν, das moralisch Häßliche. adv. ῶς, schimpflich.

Αἰσχρȣργία, ἡ, Niederträchtigkeit, Lasterhaftigkeit.

Αἰσχύνη, ἡ, Schaam, Schamhaftigkeit.

Αἰσχύνομαι, sich schämen, roth werden, sich scheuen, Bedenken tragen Böses zu thun. τινὰ, einen scheuen.

Αἰσχυντηλία, ἡ, Verschämtheit, Schamhaftigkeit; Bauernschaam.

Αἴσωπος, ein berühmter griechischer Fabeldichter.

Αἰτέω, ήσω, bitten.

Αἰτία, ἡ, Ursache, Grund, Beschuldigung.

Αἰτιάομαι, tadeln, die Schuld zuschreiben.

Αἴτιος, ία, ον, der der Grund, Ursache, Quelle von einer Sache ist.

Αἰὼν, ῶνος, ὁ, Zeit, fortdauernde Zeit, Ewigkeit.

Ἀκαδημία, Akademie, ein Gymnasium vor Athen.

Ἀ-καιρία, ἡ, ungelegene Störung.

Ἄ-καιρος, ὁ, ἡ, adv. ως, ungelegen, nicht zur gehörigen, rechten, bequemen Zeit.

῎Ακανθα, ης, ἡ, Dornen, Stacheln, Grat der Fische.
'Ακανθώδης, ὁ, ἡ, dornicht, stachelicht.
῎Α-καρπος, ὁ, ἡ, ohne Frucht, unfruchtbar.
'Α-κατάπαυςος, ὁ, ἡ, adv. ως, nicht zu beruhigen, unruhig.
'Α-κλεῶς, unrühmlich.
'Ακμάζω, σω, blühen, in der Blüthe seiner Jahre stehen.
'Α-κολασία, ἡ, Ausgelassenheit, Ausschweifung.
'Α-κόλαςος, ὁ, ἡ, zügellos, frech; der nicht bestraft wird.
'Ακολȣθέω, folgen, mitgehen.
'Ακολȣθητικὸς, ἡ, ὸν, der gern, gewöhnlich folgt.
'Ακοντίζω, den Wurfspies werfen.
῎Α-κοσμος, ὁ, ἡ, ungeordnet, unehrbar.
'Α-κȣ́σιος, ὁ, ἡ, nicht freywillig.
῎Ακȣσμα, τὸ, das, was man hört.
'Ακȣ́ω, σω, Perf. ἀκήκοα, hören, zuhören.
῎Ακρα, ἡ, Burg, Vorgebürg.
'Α-κράτεια, ἡ, Unenthaltsamkeit.
'Α-κρατὴς, ὁ, ἡ, schwach; schwach gegen seine Leidenschaften, d. i. unenthaltsam.
῎Α-κρατος, ὁ, ἡ, ächt, unverfälscht; ungebändigt.
'Α-κρασία, ἡ, Unenthaltsamkeit.
'Ακριβὴς, ὁ, ἡ, adv. ῶς, genau, fein.
'Ακριβόω, genau wissen.
'Ακρόαμα, τὸ, das, was man hört, Unterhaltung für die Ohren.
'Ακρόασις, ἡ, das Zu- oder Anhören; Ort oder Cirkel gelehrter Leute, denen man etwas vorliest.
῎Ακρον, τὸ, das Höchste, der Gipfel.
'Ακρότης, ητος, ἡ, das Höchste, der Gipfel, die Vollkommenheit.
'Ακτὶν, ῖνος, ἡ, Strahl der Sonne.
῎Α-κων, οντος, ἄκȣσα, ἄκον, nicht gern, nicht willig.
'Αλαζονεία, ἡ, Prahlerey, Stolz.
'Αλγεινὸς, ἡ, ὸν, schmerzhaft.
'Αλγέω, Schmerzen leiden.
῎Αλειμμα, τὸ, das Einsalben.
'Αλεξάνδρεια, der Name verschiedener Städte, besonders der Hauptstadt in Egypten.
'Αλέξανδρος, König in Macedonien.
'Αλήθεια, ἡ, Wahrheit, Aufrichtigkeit.
'Αληθὴς, έος, ὁ, ἡ, wahr,

wahrhaftig, aufrichtig. adv. ὤς.

Ἀληθινὸς, ἡ, ὀν, wahrhaftig, zuverläßig.

Ἁλίσκω, Fut. ἁλώσω, Perf. ἑάλωκα, a. 2. ἑάλων, fangen, ertappen, überwinden. Part. a. 2. ἁλὲς, όντος, sensu Pass. eingenommen.

Ἀλκὴ, ἡ, Stärke, des Körpers oder des Geistes.

Ἀλκιβιάδης, ein berühmter Feldherr zu Athen.

Ἀλλὰ, (ἀλλ' vor e. Vokal.) aber, sondern, ja.

Ἀλλήλων, dat. ἀλλήλοις, αις, οις, acc. —ες, ας, α, untereinander, wechselseitig.

Ἄλλος, η, ο, ein anderer. adv. ως, auf eine andere Art.

Ἄλλοσε, anderswohin.

Ἀλλότριος, ία, ον, fremd; nicht passend, mir nicht angehörig.

Ἀλοάω, dreschen; schlagen.

Ἄ-λογος, ὁ, ἡ, unvernünftig.

Ἀ-λυπία, ἡ, Kummerlosigkeit, Frohsinn.

Ἄ-λυπος, ὁ, ἡ, adv. —ως, ohne Schmerz, kummerfrey; nicht kränkend.

Ἄλφιτον, τὸ, Gerstengraupen; Mehl.

Ἅμα, zugleich.

Ἀ-μαθὴς, ὁ, ἡ, der nichts gelernt hat; ungeschickt, dumm.

Ἀ-μαθία, ἡ, Unwissenheit, Mangel an Bildung, Dummheit.

Ἅμαξα, ης, ἡ, ein Wagen, plaustrum.

Ἁμαρτάνω, ήσω, fehlen, irren, sündigen. c. Gen. verfehlen. a. 2. ἥμαρτον.

Ἁμάρτημα, τὸ, Fehler, Versehen.

Ἁμαρτία, ἡ, Fehler, Sünde.

Ἀμείνων, ὁ, ἡ, besser, vorzüglicher.

Ἀμέλει, ganz gewiß, zuverläßig.

Ἀ-μέλεια, ἡ, Sorglosigkeit.

Ἀ-μελέω, ήσω, c. G. vernachläßigen, sich nicht bekümmern.

Ἀ-μελὴς, ὁ, ἡ, sorglos, unbekümmert. ἀμελῶς ἔχειν περί τινα, jemand nicht achten.

Ἀμίμητος, ὁ, ἡ, unnachahmlich.

Ἄ-μισθος, ὁ, ἡ, ohne Lohn dienend.

Ἀ-μοιρέω, nicht Theil nehmen.

Ἄ-μοιρος, ὁ, ἡ, ohne Theil.

Ἀ-μορφία, ἡ, Häßlichkeit.

Ἄ-μοχθος, ὁ, ἡ, nicht arbeitend.

Ἄμπελος, ε, ἡ, der Weinstock.

'Αμφὶ, um, herum, bey. οἱ ἀμφὶ τὸν Κρίτωνα &c. Crito und seine Gefährten oder Freunde.

'Αμφι-έννυμι, ιέσω, ich ziehe an. Part. Perf. P. ἠμφιεσμένος.

'Αμφισ-βητέω, streiten, zweifeln.

'Αμφότερος, έρα, ον, beyde. uterque.

"Αμφω, οἱ, αἱ, τὰ, beyde. ambo.

